6
15 4
10

6
13/\E
5

6 - 13 g 10

~~6 21 fl 9~~

A

1.23.9.
T.9.

ΕΞΑΗΜΕΡΟΝ

Η ΤΟΙ, ΚΟΣΜΟΥΡΓΙΑ, ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΙΣΙΔΟΥ

διακόνου καὶ χαρτοφύλακος τῆς
μεγάλης τοῦ Θεοῦ
Ἐκκλησίας.

Τοῦ αὐτοῦ Ἰαμβεῖα εἰς τὸν μάταιον βίον.

OPVS SEX DIERVM, SEV, MVNDI OPIFICIVM: GEORGII PISIDÆ

Diaconi & Referendarij Conſtanti-
nopolitanæ Eccleſiæ, Poëma.

Eiuſdem Senarij de Vanitate vitæ.

Omnia nunc primùm Græcè in lucem edita, & Latinis verſibus eiuſdem generis expreſſa, per Fed. Morellum Federici F. cum fragmentis ex Suida & aliis.

LVTETIÆ,
Apud Fed. Morellum Typographum Regium.
M. D. LXXXIV.
EX PRIVILEGIO REGIS.

ΕΙΣ ΕΡΜΗΝΕΥΤΗ͂Ν
Γεωργίου τοῦ Πισίδου.

Πίστιν ἀληθείης ἐθέλοιμεν ἐν ὄμμασι θέσθαι,
Καὶ περὶ τοῦδε φίλου κρήγυον εἰπέμεναι.
Οὐδὲ γὰρ ἐν σιγῇ καλῶς τετελεσμένον ἐσθλὸν
Δεῖ κρύψαι, τελέσας οἷον ὕφηνε νέος·
Ον θεὸς οὐρανίαις ἔρσαις, ὡς ἔρνος, ἀέξει
Ἀμφιχέων, Μουσῶν καὶ χαρίτων τρόφιμον·
Ἐκ δὲ πόνων, οἳ σὺν νεότητι δίκῃ τε γίνωνται,
Ἐλπίδα θῆκαν ἐμοὶ μείζονος εὐποιΐης.
Τοῖον ἀπ' εὐσεβέος Μούσης τὸν παῖδα Μορέλλου
Ἀμφιφλέγει προφότῃ φέγγος ἐν ἡλικίῃ.

Ν. ΓΥΛΩΝΙΟΣ.

ΤΩι
ΑΙΔΕΣΙΜΩΤΑΤΩι
ΚΑΙ ΕΠΙΦΑΝΕΣΤΑΤΩι
Καρδινάλει ΙΛΕΡΜΩι ΤΩι
ΣΙΡΛΗΤΩι Φεδερῖκος ὁ
Μόρελλος ἐν Κυρίῳ
χαίρειν.

ΑΝΑΞΑΓΟΡΑΣ ὁ Κλαζομένιος, ὃς πρῶτος Ἑλλήνων νοῦν ἐπιστῆσαι τῇ τοῦ παντὸς αἰτίᾳ μνημονεύεται, ἐρωτηθείς ποτε (φίλη θεοῦ καὶ ἱερὰ κεφαλή) εἰς τί γεγένηται; εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. ὅπερ οὐ κατὰ πᾶν ἀληθεῖ ἐοικέναι δοκεῖ· οὐ μὲν γὰρ ἄνθρωπος δι' οὐρανόν τε καὶ ἥλιον· ἥλιος δὲ καὶ σελήνη, τά τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται διὰ τὸν ἄνθρωπον, εἰς τε αὐτοῦ φωτισμόν, παρὰ τοῦ ποιητοῦ καὶ πατρὸς τοῦδε τοῦ παντὸς δεδημιούργηται.

ἀλλ' ἐπειδὴ τὰ φωσφόρα τῶν οὐρανίων μάλιστα, τὸ θνητὸν γένος πρὸς τὴν τοῦ τῶν ὅλων δημιουργοῦ γνῶσιν χειραγωγεῖ, τῆς ἡδίστης καὶ ὠφελιμωτάτης τῆς τῶν ἄνω θεωρίας οὐ πάντως ἀμελητέον· μᾶλλον δὲ καὶ σφόδρα κοσμοπολίταις ἐπιμελητέον τῆς οὐρανίας πατρίδος, κατὰ τὸν αὐτὸν φιλόσοφον· τοῦ γὰρ δὴ εἶναι θεὸν καὶ ὑπάρχειν, διδάσκαλος καὶ ὑφηγητὴς ἡμῖν γέγονεν ὁ πᾶς οὐρανὸς ἢ κόσμος, καὶ ὡς υἱὸς ἀναδιδάξας ἡμᾶς περὶ τοῦ πατρὸς, καὶ ὡς ἔργον περὶ τοῦ τεχνίτου. ἆρ' οὖν εὐλογώτερον καὶ εὐσεβέστερον ἂν εἴη λέγειν, ὅτι οὐκ ἄλλου του χάριν ἐς τοδὶ τὸ φῶς παραγόμεθα, ἀλλ' ἢ τοῦ τὸν ἁπάντων γενεσιουργὸν καὶ παμβασιλέα γνῶναι τὸν ἀνωτάτω θεὸν, σέβειν τε καὶ ὑμνεῖν ἀλλήκτως καὶ ἀδιαλείπτως; τίνος γὰρ ἂν ἄλλου ἕνεκα ὀρθία καὶ οὐρανοσκόπος ἡμῖν ἡ κεφαλὴ, φωνὴ ἔναρθρος, γλῶσσα εὔλαλος, εἰ μὴ πρὸς τὸ δοξολογεῖν ἀεὶ τὸν δοτῆρα καὶ χορηγὸν τοσούτων ἀγαθῶν; ἄλλως τε ἐπειδὴ καὶ ἡ τοῦ θεοῦ ἐπίγνωσις καὶ δοξολογία, ἀλέκτους ἡδονὰς καθ' ἑαυτὴν καὶ εὐφροσύνας ἐργάζεται. ταύτης ἔγωγε θεωγνωσίας, ὡς ἐπιστήμης τοῦ χριστιανισμοῦ πασῶν οἰκειοτάτης, φύσει ἐραστὴς ὑπάρχων, ἀγαθῇ γε τύχῃ, μᾶλλον δὲ τῇ τοῦ θεοῦ εὐδοκίᾳ ἐνέτυχον τούτῳ θεοσεβεστάτῳ ποιητῇ Γεωργίῳ

τῷ Πισίδῃ, μεγάλης πάλαι Κωνσταντινουπόλεως ἐκκλησίας ἐπὶ Σεργίου πατριάρχου διακόνῳ· ὅσπερ τὸ κάλλος τῶν νοημάτων τῆς κοσμοποιΐας, ὡς ἐφικτὸν ἀνθρώπῳ, ἀνυμνῆσαι δοκεῖ, καὶ μονονουχὶ ἀπὸ τῆς γῆς ἄνω μετέωρος ἀρθεὶς αἰθεροβατεῖ, τὰ τῆς γῆς νέρθεν, καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ, κατὰ τὸν Θηβαῖον, ἐπισκοπῶν, ὡς μικρῶν ἅμα καὶ μεγάλων φιλοθεάμων. Ὅθεν δὲ καὶ Ὁμηρεῖδαι ἄρχονται Διὸς ἐκ προοιμίου, κἀγὼ ὡσαύτως καταβολὰν ἐδεξάμην τῶν ἐμῶν σπουδασμάτων πρῶτον ἐν τῇδε πολυϋμνήτῳ θεοῦ κοσμουργίᾳ ποιητικῇ, ἥνπερ ἔλαβον ἄσμενος παρὰ τοῦ τριποθήτου πατρός μου Φεδερίκου, φιλομαθοῦς, φιλοπόνου καὶ θεοφιλοῦς τὴν μάλιστα, ζῶν καὶ τελευτῶν· αὐτῷ δὲ τοῦτο δώρημα φίλος τις Ἕλλην, καλλιγράφος, ἐχαρίσατο. καὶ ἐκ τοῦ παραχρῆμα πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον ἐποιησάμην τὸ τοιαύτην φιλόσοφον καὶ ἄμυθον ποίησιν Ῥωμαϊστὶ τὸ ἐμαυτοῦ μέρος ἑρμηνεύειν αὐτῷ τῷ μέτρῳ, φιλοτοιούτων χάριν, καὶ οὔπω τὴν ἑλληνικὴν παιδείαν εἰς ἄκρα ἠσκηκότων. ἤδη δέ μοι παρασκευασαμένῳ πρὸς τὴν ἐγχείρησιν τοιαύτην, καὶ τὴν μετ᾽ ὀλίγον ἔκδοσιν, ὅμως οὐκ ἀγαπῶντι παραδείγματι ἑνὶ καὶ μόνῳ, καὶ ἀντίγραφα πανταχόθεν ἀλλ᾽ ἄττα ζητή-

σαντην, Ἰωάννης ὁ Σαγκτανδρεανός, ὁ λογιώτατός τε καὶ εὐσεβέστατος ἀνήρ, εὐκαίρως ἐξέδωκέ μοι πάνυ παλαιὸν κοὐκ ἀπόβλητον τῶν Πισίδου στίχων ἀντίγραφον· ᾧ χρησάμενος, οὐ σμικρὸν πρὸς τὸ σαφὲς τῆς ἑρμηνείας συνεβάλετό μοι. Οἶδα μὲν-οὖν αὐτῷ τῷ Σαγκτανδρεανῷ πολλὴν χάριν τῆς τε ἀφθόνου κοινωνήσεως τῶν τῆς εὐπορωτάτης αὐτοῦ βιβλιοθήκης βίβλων· καὶ δὴ καὶ μεγίστην οἶδα τῆς σου τιμιωτάτης γνωρίσεως, ἧς ἔτυχον ἡδέως, οὐ τὸν σωματικὸν χαρακτῆρα, μηδέποτ' εἰς ὄψιν ἰόντα, τῇ μνήμῃ μου ἐντυπωσάμενός πω, ἀλλὰ τοῦ ἔσω ἀνθρώπου τὸ κάλλος, ἤτοι θεοσέβειαν, καλοκαγαθίαν, φιλανθρωπίαν, σωφροσύνην, πολυμάθειαν, ποικιλίαν τε καὶ δεινότητα λόγων, καὶ πάσας, συνελόντι φάναι, ἠθικὰς καὶ διανοητικὰς ἀρετάς, ὧν σύγε παράδειγμα γίνῃ τοῖς ἀνδραγαθίαν ἀσκεῖν βουλομένοις, παρὰ τοῦδε πάντων ἀξιοπιστάτου ἀνδρὸς διηγησαμένου πολλάκις ἀκηκοώς· ταὐτὸ δ' αὖ, ἥδιστόν μοι θαῦμα νοεῖν, ἐκ τῶν τοῦ σοι φιλτάτου καὶ ἐλλογιμωτάτου M. Ἀντωνίου τοῦ Μουρητοῦ πρὸς ἐμὲ γραμμάτων ὡς ἐναργέστατα καταμαθών· ᾧ τινι χάριν ἀθάνατον ὁμολογῶ, καὶ ὅτι τούτου προξένου τυχών, τὴν τῆς σῆς εὐνοίας παρενεπορευσάμην παρενθήκην,

αὐτὶ παντός μοι γινομένῳ· καὶ δὴ καὶ ὅτι αὐτοῦ ὡσπερεὶ Μέντορος φρονιμωτάτου παραινέσει, τὴν δὲ δίγλωττον τοῦ Πισίδου κοσμουργίαν, καθάπερ τινὰ τῆς ἀγάπης δωροφορίαν, σοῦ τῇ μεγαλοφροσύνῃ προσάγων, ἐπεφήμισα· δόσις δ' ὀλίγη τε φίλη τε· Ἰαμβικῷ γὰρ ἐνθάδε Πισίδης ὅδε τῷ μέτρῳ χρώμενος, ὥσπερ ὀχήματι, τὴν ὑψηλὴν τοῦ παντὸς διακόσμησιν καὶ τὴν τῶν τοῦ θεοῦ κτισμάτων καλλονὴν εὔληπτον τοῖς συνετοῖς, διὰ τῆς εὐμουσίας καὶ τῶν τῆς ποιητικῆς χαρίτων, ἐποίησε· μιμησάμενος τὸν ἱεροψάλτην Δαβίδ, ὃς τὸ ἐκ τῆς μελῳδίας τερπνὸν τοῖς δόγμασιν ἐγκατέμιξεν, ἵνα τῷ προσηνεῖ καὶ τῷ λείῳ τῆς ἀκοῆς τὸ ἐκ τῶν λόγων ὠφέλιμον λανθάνοντες ὑποδεξώμεθα. καὶ μὴν ἑτερόν τι τοῦ αὐτοῦ Ἰαμβογράφου ποιημάτιον εἰς μάταιον βίον, ἐλλιπές γε, καὶ τὸ μὲν ἐμοὶ δόξαν ἑξαημέρου ἢ κοσμουργίας ἀποσπασμάτιον, προσεθήκαμεν ὡς ἐπισφράγισμα χρήσιμον τοῖς πολλοῖς, καὶ ἐν ἀντιφαρμάκου μοίρᾳ κατὰ τοῦ κενοῦ καὶ ἀνοήτου τύφου, πολλῶν ἄλλων κακῶν δημιουργοῦ, καὶ δορυφορουμένου ὑπὸ τοῦ πλείστου γένους τῶν δοξοματαιοσόφων, οἷοισπερ ἐπιστάμεθα τῇ θαυμαστῇ σου φιλεπιεικείᾳ καὶ ἀτυφίᾳ μάλιστ' ἐν ὀργῇ εἶναι· οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλεις. Οἶμαι τοιγαροῦν

φιλόχειστον τόνδε καὶ φιλόχρηστον ποιητὴν, εἴπερ ὄντως ἀναβιώῃ, προσχαρίσασθαι ὅτι ἐπεφωνήθη τὰ σωζόμενα τῆς διανοίας αὐτοῦ τέκνα τῷ τῶν ἀρχιερέων σοφίᾳ καὶ συνέσει ἐπιφανεστάτῳ, καὶ ὀχυρωτάτῳ τῆς ὀρθοδόξου πίστεως, ᾗ γ' οὐδὲν προτιμητέον, ἐρείσματι· καὶ οὐκ ἂν κατὰ τοῦτο τῆς ἐμῆς γνώμης διαφωνῆσαι· ἐπειδὴ τοιούτου τετυχηκὼς ἀναδόχου, οὐκ ἄλλης ποτὲ βοηθείας κατὰ τῶν φιλεπιτιμητῶν δεήσαιτ' ἄν. μᾶλλον δὲ ἐν ἀγαθῇ γ' ἐλπίδι εἴη, τ' ἄλλα τῶν ἑαυτοῦ πονημάτων λείψανα, πάσῃ μὲν ἐπιμελείᾳ σου ἐπιτάττοντος, θεοῦ δὲ θέλοντος, ἀνακαλυφθήσεσθαι. ἐμοὶ λοιπὸν ἡ εὐχὴ, τὸ σὲ προθύμως καὶ φιλοφρόνως δέχεσθαι τά δε τῆς ἐμῆς πρός σε φιλοστόργου διαθέσεως ἐνέχυρα· σοὶ δὲ πολλάκις γένοιτο συνδοξάσαι τὸ μεγαλεῖον τῆς δόξης τοῦ παντοκράτορος θεοῦ τῷ κοινῷ τῆς ἐκκλησίας. ἐρρωμένως καὶ μακαρίως διαβιώῃς, θαυμασιώτατε καὶ θεῷ κεχαρισμένε ΣΙΡΛΗΤΕ. Εκ Παρισίων μητροπόλεως, Μαιμακτηριῶνος ἢ Οκτωβρίου μηνὸς τρίτῃ ἱσταμένου. ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ὀγδοηκοστῷ τετάρτῳ ἐπὶ τοῖς χιλίοις καὶ πεντακοσίοις.

IN

GEORGII PISIDÆ MVNDVM A
FED. MORELLO PARISIENSI
Latinis verſibus expreſſum.

EGREGIE PISIDES Mundum deſcripſerat: vnum
Deerat adhuc, quia dimidio patefecerat Orbi,
Spectandum cunctis quod erat mortalibus: arctis
Quippe metris Mundum Graiis incluſerat: illum
Altera pars orbis numquam vidiſſet: at olim
Conſpiciet, Latiis oris monſtrante MORELLO:
Vt PISIDÆ Mundus toto ſpectetur ab Orbe.

R. PINCÆVS Senator Pariſ. F.

JN IDEM GEORGII PISIDÆ
Opus ſex dierum.

QVICQVID creauit artifex rerum Deus,
Numero creauit omnia:
Numeróque gaudet impari diuinitas,
Impar quod impartibile eſt.
Et quicquid impar eſt & impartibile,
Mortis ſecantis cætera

b

Immune, Græcis vnde dicitur μόρος,
Ab æuo in æuum permanet.
Sed quia perenne nil, niſi ſummus Deus,
Et Conditori condita
Se ſe nec æquant, ſorte nec gaudent pari,
Numerum creata per parem
Sunt ſex dierum. Quæ diebus & omnia
Sunt ſex creata, tot quoque
Millia per æui ſunt itura ad terminum,
Sex per dies, ſex ſecula:
Niſi Legis autor, legis exſors ſed Deus,
Breuiarit ipſe tempora:
Pios ab impiorum vt aſſerat iugo,
Quos Antichriſtus opprimet.
Hoc ſex dierum opus PISIDES tam pia
Deſcribit arte, potus vt
Fonte videatur, non equi volatilis
Quem fodit anceps vngula,
Sed qui ſupremo mânat è throno Dei:
Manifeſta res vt approbat.
MORELLVS at eodem rigatus riuulo,
Non labra tantùm, ſed iecur,
Scripta ſenioris iunior GEORGII,
Quæ Græca fuerant, exprimit
Sermone Latio, tam eleganter, tam piè,
Aliena vt efficiat ſua.

Jo. Auratus poëta & interpres Regius.

JNTERPRETIS PROTHEORIA
ad ornatiſſimum atque eruditiſſimum virum IOANNEM A S. ANDREA, *Aedis D.* MARIÆ *apud Pariſienſes Canonicum religioſiſſ.*

PRIMI parentes litterarum & artium,
Vates, poëtæ primo ab æuo principes,
Flamma caleſcentes beati Numinis,
Laudes canebant Conditoris omnium:
Et ore, ſcriptis, barbitóque & carmine
Miranda celebrabant opera, Terram, Polum,
Quæcunque ſenſibus patent, & quæ latent:
Tum dona, quæ Parens benignus contulit,
Atque in dies confert in humanum genus,
Quod vt creauit, maximopere diligit,
Ac protegit mirabili clementia:
Quippe eius ergo condidit res cæteras.
Adeſt vocatus, nec vocatus, omnibus:
Et pollicita cultoribus præſtat ſuis:
Puráſque mentes imbuit myſteriis,
Tandémque ad altas ætheris ſedes vocat.
Hæc meta erat dictorum & actorum omnium
In gente priſca & aurea mortalium,
Hymnos perennes cælitum æmulantium.

Hocque inſtitutum cùm ſit antiquiſſimum,
Lex certa nobis eſſe virtutis poteſt,
Et norma doctrinæ, ſequantur quam pij.
Quid prædicabit os, niſi opificem ſuum?
Quem præferent oculi datori luminum?
Quid mens capit maius parente mentium?
Quid fonte vitæ ſuauius viuentibus?
Vox omnis ergo, cantus omnis, & lyra,
Muſa omnis almum prædicet ſemper Deum.
His inſtitit GEORGIVS veſtigiis,
Electus aris adminiſter inclytis:
Nam ſtudia Muſáſque vnico dicauerat
Deo, ſuóſque Numini ſacrauerat
Verſus, cothurno non Sophocleo impares.
His conditus qua Mundus arte ſit docet,
Et quattuor primordia orbis maximi,
Tellurem, & vndam & aërem, ignem & lucidum,
Exponit & Phœbum nitentem, & Cynthiam:
Et lucis & noctis viciſſitudines:
Quæcunque Tellus è ſinu parit ſuo,
Animantium genera, lapillorum decus:
Mortalis vllus ne dubitet impoſterum
Quin præſit Orbi conditor ter maximus,
Tantíque moderator operis vel muneris:
Cui vera laus, & vera pietas perplacet,
At gloriæ faſtus inanis diſplicet.
Hoc Heraclio Principi gratiſſimum
Opus, piis item omnibus gratum fore
Spero, quibus placêre mihi palmarium eſt:

Namque

Namq; eſſe quæſtum induxi in animum maximum,
Quando hæc tenebris eruta in lucem darem,
Et Græca redderem Latinis vocibus,
Quammaximè ſeruire eorum commodis,
Qui rebus anteferunt Dei cultum omnibus.
Aſt vt venuſtius veniret in virûm
Manus poëma tam pium & caſtum, tua
SANCTANDREANE liberalitas facit:
Dum priſca nobis tradis exemplaria
E Bibliothecæ diuitis penetralibus,
Cuius volumina ſunt negata nemini,
Qui ſibi ſimul prodeſſe velit & publico.
Te ergo duce ô SANCTANDREANE, & auſpice
Te, qui excolis ſummis genus virtutibus,
Audentiùs nos hoc Theatrum pandimus
Oris in Italis, in oris Atticis:
Freti bona ſpe, dummodo placeat Viro
Qui moribus ſanctis Galeri purpuram
Et erudita mente decorat maximè,
Multis vt auctum redeat ad nos partibus,
Acceptiúſque Chriſtianorum choro,
Qui verſibus libenter applaudit ſacris.
Mordacium nihil moror dicteria:
Procul prophana turba, vana, liuida.

QVID in iſtius noui Poëmatis Græci editione, & eius Latina interpretatione præſtiterim (Lector cãdidiſſime) abs re eſſet, opinor, monere te: cùm res ipſa pro me loquatur. Annotationes in locos explicationis egentes, quas affectas apud me viderunt amici, in aliud tempus diſtuli. Varias lectiones & notas non ſuperuacaneas ad oram libri adſcripſi. Enimuerò, quia melius omninò reor, cum D. Hieronymo, etiam proprium errorem reprehendere, & delictum vertere, quàm defendere, & in ipſo perſiſtere: à te maximopere peto & quæſo, ne hîc offendaris aliquot maculis, quas aut incuria fudit, Aut humana parum cauit natura: néve præfractè mecum agas, quin erranti comiter monſtres viam obſecro: me certè numquam pudebit tam prauè, vt neſcire malim, quàm diſcere. Sed quò alacrius hanc mihi des veniam, (adoleſcenti, quem identidem, vel ipſo huius libri editionis tempore, cura rei domeſticæ & Typographicæ prouinciæ à ſtudiis auocauit) finge te in eadem iſta naui fuiſſe: tum, vt æquus rerum æſtimator, ſi quid nouiſti rectius iſtis, Candidus imperti: ſi non, his vtere mecum. Interim porrectiore fronte noſtrum hoc ſpicilegium accipito. Vale.

Fol. 2. *Verſu* 20. *lege*, Opaca curarum fugauit nubila.
ver. 43. *legi poteſt.* At plurimæ venæ abditorum fluminum. *ex felici coniectura Io. Paſſeratij, viri erudítiſſ. facta permutatione prioris ſyllabæ ὀμμάτων in κυμάτων, vel ναμάτων.*
ver. 50. Sophiſta Procle fabularum inanium.
Fol. 8. *ver.* 201. Coniunctus in diſp. *vel.* Fit vnus in.
ver. 216. Lucíſque fontes orbe concitos. *vel apertius*, Lucíſque fontes, qui cient orbem, tenet. *Hîc emenda obiter nume-*
Fol. 12. *ros pag.* 9. *&* 11. *ver.* 306. In quîs leuia quamplurima inuolucra ſunt, Ne vel grauetur.
ver. 322. Tu quadriiugi currus modo aptas quattuor Elementa: curſus aſt habenis ſuſt.
Fol. 14. *ver.* 344. Lunam quis, almum lumen aut Solis videns.
ver. 454. Nam ſponte is arcipotens aberrat à ſcopo.
Fol. 18. *ver.* 462. Lucrator animorum ac op. f. v.
ver. 489. Qualémve fundum. (*ſi mauis* fundum *eſſe maſc.*

quàm

Fol. 22. *quàm neutri generis.* *ver.*582. Et nubila horr.
ver. 601. Nec term. tranſ. antiquiſſimos,
Fol. 32. *ver.* 876. Ob quem iſta, poſt quem tanta curr. ſed.
ver. 886. Non te antè odoratur magis quàm balſamum.
*Fol.*36. *ver.* 956. Hoſtis fugâ ſ. ſ. *v.* 970. Quæ non modò his d. ſ. i.
Fol. 42. *ver.* 1166. Materiem initium non habere. n. c.
Fol. 44. *ver.* 1177. Edat tubæ vt ſonum? vel inimitabili
ver. 1225. Vt nubilum telum ſagittarì abditi.
Fol. 46. *ver.* 1257. Quàm iungeret ſubtile opus tantis bonis.
ver. 1265. Iam qualis eſt lex ſericis quæ vermibus.
ver. 1271. Bombycis indumentum amictúſque fragilis.
Fol. 48. *ver.* 1288. Et intuentur id; niſi ita conniueant,
Incredulam at mentem gerunt pro credula?
*Fol.*50. *ver.* 1381. Ex prælio quo congredi hæc ſecum autum.
ver. 1385. Præſens niſi hæc p. v. n.
*Fol.*56. *ver.* 1556. Albas notas delebis; at melle illitam
Folio, 57. p.1. In ora libri, ἐπιπλίον.
*Fol.*58. *ver.* 1566. Fluxus vetat, qui ſponte non euenerint.
ver. 1580. Agitante iam ægro. *vel,* Fundente.
Fol. 60. *ver.* 1636. Nullo initio ordiens n. t. *ver.* 1649. Inſtans, futurum, tum quod i. c. ſ. *ver.* 1652. In indicantem, perpetuum,
Fol. 62. optantē modum. *v.* 1696. Quem carpere hìc malim rac. neſ.
ver. 1711. Iungens initio, vllum videns n. t.
ver. 1715. Ad humum reflecto, limus, ego, curſum meum:.
Fol. 64. *ver.* 1755. Adoptionis finis ante ſecula.
ver. 1759. Vnguentum initiatorum, & almam gratiam.
Fol. 66. *ver.* 1804. Lumen paternum, antiquius Phœbo iubar.
ver. 1817. Omnem gubernet ſubditam Soli plagam.
Fol. 70. *ver.* 7. Motus in animo turbulentos ſentiens.
Fol. 72. *ver* 97. Et quiſpiam ex iis pr. v. i.
Fol 74 *ver.* 133. Intenſionem ſoluat, animi copulam.
Fol. 76. *ver.* 200. Cumulus pecuniæ q. d. d.
ver. 202. Optabilis pleriſque prima dignitas.
ver. 210. Nullis honeſtos dedecus pati probris.
Fol. 78. *ver.* 219. Ac porrigit ſe modò, modò at ſe contrahit.
ver. 224. Prorepit omnis æui curſus hoc modo.

NONDVM murice tinctus, aſperóque
Morſu pumicis aridi politus,
SIRLETVM properas, Liber, videre,
Hunc quem purpureus tegit Galerus,
Prudentémque, piúmque, & eruditum:
Quo pulcherrima Roma nunc potitur.
I quò te faciat venuſtiorem,
Et doctiſque probiſque gratiorem.
Quàm vellem Piſidæ ſequi libellum!

Ἑξάστιχον εἰς Ἑξαήμερον Πισίδου.

ΘΑΥΜΑ μικρὸν βροτός ἐστι, μικρὸς γὰρ κόσμος ἀκούει·
Καὶ μέγα θαῦμα Θεοῦ κόσμος ὅδ' ἐστὶ μέγας·
Πάντων δ' αὖ Θεός ἐστιν ὑπὲρ τάδε θαῦμα μέγιστον,
Ὃν σύγε θαυμάζων, δοξολόγησον ἀεί.
Ὄφρα δὲ δοξολογῇς ἀρετήν, σοφίην τε, θεοῖο,
Θαυμασίοιο δέχου τήνδε βίβλον Πισίδου.

Φεδ. τοῦ Μορέλλου.

EK

ΕΚ ΤΩΝ ΤΟΥ ΣΟΥΙΔΑ.

ΓΕΩΡΓΙΟΣ Διάκονος τῆς μεγάλης ἐκκλησίας, καὶ Χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης † ἑξαήμερον δι' ἰάμβων, εἰς ἔπη τρισχίλια. Εἰς Ἡράκλειον τὸν βασιλέα, καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον· ἐπὶ τοῦ Ἀβαρικὰ καταλογάδην. ἐγκώμιον εἰς τὸν Μάρτυρα Ἀναστάσιον.

λείπει τὸ ἔγραψεν.

EX SVIDÆ COMMENTARIIS.

GEORGIVS Diaconus magnæ Eccleſiæ, & Chartularius, cognomento Piſides, Opus VI. dierum, tribus verſuum Iambicorum millibus expreſſit. Idem ſcripſit de Heraclio Imperatore, de Perſico bello: itémque Abarica, ſoluta oratione: ad hæc laudationem Martyris Anaſtaſij literis conſignauit.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΙΣΙΔΟΥ

Ἑξαήμερον ἢ Κοσμουργία.

Προοίμιον πρὸς Σέργιον πατριάρχην.

Ω ΠΑΝΤΟΣ ἔργου καὶ θεηγόρου λόγου
Καὶ γλῶσσα καὶ νοῦς καὶ σοφὴ καὶ καρδία,
Τὰ ῥεῖθρα τῶν σῶν οὐρανοδρόμων λόγων
Εἰς τὴν ἄικμον ἔμβαλε μου καρδίαν.
Αὐχμῷ γὰρ ἤδη τοῦ κατασχόντος ζόφου
Ἄφωνον εἶχον ἐξ ἀνάγκης τὸ στόμα,
Γῆς τοῦ λόγου σάλπιγγος ἐμπεφραγμένης.
Οὐδὲν γὰρ οὕτως ὡς ἀθυμίας νέφος
Χειμῶνα γεννᾷ καὶ νοημάτων ζάλην,
Καὶ συσκιάζει τοῦ λόγου τὸν ἥλιον,
Καὶ νύκτα ποιεῖ γνωστικῆς ἀβλεψίας,
Καὶ τοῦ λογισμοῦ συνθολοῖ τοὺς ἀστέρας·
Ἐγὼ δὲ πᾶσαν τὴν ἀχλὺν τῶν φροντίδων,
γρ. ἀποστρέφει. Καὶ τὴν ὁμίχλην τῶν φρενῶν* ἐπιστρέφει,
γρ. ἀποφράττει. Καὶ τῆς διόπτρας τὴν ὀπὴν* ἀντιστρέφει,
Δι' ἧς τὰ* μικρὰ τοῦ λόγου κινήματα
γρ. μακρά. Ὁ νοῦς θεωρεῖ γνωστικῶν ἐξ ὀργάνων.
Ἐπεὶ δὲ τῇ σῇ φωτοχύσμῳ λαμπάδι
Παρῆλθεν ἡ νύξ, καὶ τὸ πνεῦμά σου φθάσαν
γρ. τὰ τῆς μερίμνης ἀντεφύσησεν νέφη. Τῷ* τοῦ λογισμοῦ ἀντεφύσησεν νέφει,
Ἔλαμψε δ' ἡμῖν τὸ πρὸς εἰρήνην σέλας
Ἧκω φέρων σοι τῆς ἐρήμου καρδίας

Καρποὺς

GEORGII PISIDÆ, OPVS SEX DIERVM, SIVE MVNDI OPIFICIVM.

Præfatio ad Sergiũ Patriarchã Conſtãtinopolitanum.

OMNIS operis verbíq; celebrãtis Deum,
O lingua, ménſq;, pabulúmq; & corculũ,
Fluenta ſermonum polos penetrantium
Infunde in aridum meum pectuſculum:
Squalore nam caliginis, quæ me obruit,
Os vocis expers redditum planè mihi eſt,
Orationis flexili obducta tuba.
Ac nîl perinde vt anxij animi nubilum
Imbres ciet fluctúſque mentibus graues,
Occultat & Solem eloquentiæ aureum,
Noctémque gignit mentis ignorantiæ,
Rationis etiam turbat aſtra lucida:
Aſt intus omnem mentis animíque horridam
Nubem, profundas ac tenebras contrahit.
Agítque retro rimulam dioptricam,
Qua perſpicit Rationis alta mens graues
Commotiones, organis ſcientiæ.
At lampade tua illuminante orbem vndique
Cùm pulſa nox eſt, ſpiritus tuus celer
Obſcura curarum reflauit nubila,
Nobis refulſit interim pacis iubar:
En cordis inculti offero fructus tibi,

Fructus tui roris rigatos flumine:
Piarũ precum vis. Nec fas rubis vt obſoletus ſordidis
Animus feracem maximè ſegetem colat:
Niſi antè ſpinarum notas auelleres,
Aut amputares, enſe vel rigidiſſimo
Precationis feruidæ reſcinderes.
O cultor alme rupiúmque & ſentium:
Nam ſeminas in ſaxa perſæpè aſpera,
Silicéſque duros parere cogis liberos,
Matth.3. Dumóſque ſylueſtres iubes fructum edere?
Nec ales vlla ſemen hoc ſanctum tuum
Rapiens volatu præpeti depaſcitur:
Nos irrigato lachrymarum flumine,
Tum fortè prolem denuò ſterilis dabit,
Gignéntque fructum infructuoſa pectora.
Sed quando laudes turpia vt fugis probra,
Iam metam ad ipſam dirigo nutum meum,
Tuis ſagittis fretus omnino ſacris.
Malim, Orationis eſt quidem fons vnicus,
carminũ. At plurimæ venæ abditorum * luminum,
Verſus intercalaris, epiphonematicus, è pſalmo 103 cuius totũ iſtud Poëma, Paraphraſis eſt ampliſſima. Per quas rigat Propheta mentes regius,
Huiuſce ſtillans ſcriptionis flumina:
O † quãta quámq; ampla eſt tuorũ operũ, DEVS,
Induſtria opifex omnium, mundi parens!
O diuitum ingens notionum abyſſus, hæc
Haurire cupidis verba dia perſonans,
Quantum valent vt hauriant, non quantum habes.
Sophiſta Procle vocum humi ſerpentium,

Multùm

Καρποὺς γεωργηθέντας ἐκ τῆς σῆς δρόσου·
Ουκ ἦν γὰρ εἰκὸς τὴν * βάτον πεφυρμένην γρ. βάτῳ.
Ψυχὴν γεωργεῖν εὐφορώτατον στάχυν,
Εἰ μὴ φθάσας σὺ τοὺς ἀκανθώδεις ῥύπους
Ανεῖλες ἢ καθεῖλες, ἢ τομωτάτῳ
Τῆς σῆς πρεσβείας ὀξεχέρσωσας ξίφει.
Αλλ' ὦ γεωργὲ τῶν πετρῶν καὶ τῶν βάτων·
Σπείρεις γὰρ αὐτὸς κατὰ * πέτρας πολλάκις, γρ. πετρῶν.
Καὶ τεκνοποιεῖν ἐκβιάζῃ τοὺς λίθους,
Φύειν τε * καρποὺς ἀξιοῖς καὶ τὰς βάτους· γρ. καρπόν.
Καὶ πτηνὸν οὐδὲν τὸν σὸν ἔνθεον σπόρον
Εκ τῶν ἀδήλων βόσκεται πετασμάτων.
Αʹρδευσον ἡμᾶς τῇ ῥοῇ τῶν δακρύων,
Ισως * γένοιτο τέκνον ἐκ στείρας πάλιν, γρ. ὅπως γένηται.
Καὶ καρπὸς * ἔμφρων ἐξ ἀκάρπου καρδίας.
Επεὶ δὲ φεύγεις τοὺς ἐπαίνους * καὶ ψήφους, γρ. εὔφρων
Πρὸς τὸν σκοπὸν τὸ νεῦμα συντείνας ἔχω, γρ. ὡς.
Τοῖς σοῖς πεποιθὼς μυστικοῖς ἀκοντίοις.
Πηγὴ μὲν οὖν πέφυκε τοῦ λόγου μία,
Φλέβες δὲ πολλαὶ τῶν ἀδήλων * ὀμμάτων, ἴσ. ᾀσμάτων
Δι' ὧν ὁ Δαβὶδ πᾶσαν ἀρδεύει φρένα,
Ταύτης τὰ ῥεῖθρα τῆς γραφῆς ἀναβρύων,
Ως ἐμεγαλύνθη * τῶν σοφῶν σου κτισμάτων ἀλλ' ὡς, τοῦ
Η δημιουργὸς καὶ σοφὴ τεχνουργία. θεοῦ τῶν
Ω πλουσίων ἄβυσσος ἐννοημάτων, κτισμάτων
Βοῶσα τοῖς θέλουσιν ἀντλῆσαι λόγους,
Οὓς λαβεῖν χωροῦσιν, οὐχ ὅσους * ἔχεις. γρ. ἔχει.
Αλλ' ὦ σοφιστὰ Πρόκλε τῶν κάτω λόγων,

Ὁ πολλὰ βροντῶν ἐκ νεφῶν λοξοδρόμων,
Ὁ πτωχόκομπος τῶν νοημάτων σάλος,
Ὁ πολλὰ τολμῶν εἰς ἀΐδιον κτίσιν,
Ἄκουε μικρῶν συλλαβῶν κράτος μέγα.
Καὶ πρίν σε γὰρ λέγουσι ταῦτα θαυμάσαι,
γρ. ἐκθλίψαντα. Τοῖς ὠσὶν * ἐκθλίψαντα τοὺς λόγους μόνον·
Τὸ τῶν νοημάτων γὰρ ἐκφράσαι βάθος,
Εἰπών, ἀπειπών, ἀστατῶν ἀνετράπης,
Θάλπων τὸν ὄγκον εἰς κενὰς ὑποσχέσεις.
Οὐκ ἠγνόεις γὰρ δεινὸς ὢν λογογράφος,
Ὡς εἴγε καὶ κάνωπα τολμήσῃς φράσαι,
Αὐτός σε νύξας ἐκφοβήσῃ, σαλπίσας.
Καὶ μηδὲν ἡμῖν ὡς ἀκόμποις κομπάσῃς.
Εἰ ταῦτα φράζει Πρόκλος ὀκνεῖ καὶ τρέμει,
Πίστις δὲ θαρρεῖ καὶ λαλεῖν καὶ συγγράφειν.
Ἀλλ', ὦ σοφιστὰ τῶν ξενοσπόρων λόγων,
Ἄκουε Πρόκλε, μηδὲ κομπάσῃς, ὅτι
Σοῦ τὴν ἀφορμὴν τοῦ σκοποῦ δεδωκότος
Σιγῶσι Πρόκλοι καὶ λαλοῦσιν ἀγρόται.
Ὦ τὴν ἀνεξεύρητον ἣν ἔχεις φύσιν
Κρύψας ὁμίχλῃ καὶ περιστείλας γνόφῳ,
Ὅπως μάθοιμεν πῶς ἀεὶ κεκρυμμένη
Ἐκ τῶν ἑαυτῆς φαίνεται ποιημάτων.
Ὦ τὴν ἀκίνητον οὐρανοῦ στέγην
Τῷ σφαιρομόρφῳ τῶν σοφῶν εἱλημάτων
Ὑψοῖ πλατύνας, καὶ τοσαύτῃ συντάσει
Βάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.
Ὦ δέρριν ὥσπερ ἐξαπλώσας τὸν πόλον·

Ὁ σὸς

In Proclũ, ſiue Ioan. Philoponũ, impiũ Tritheitē, Procli nomine inuehitur.

Multùm intonans è flexuoſis nubibus:
O notionum pauperum & tumentium
Procella, in æternam creaturam procax,
Exilium audi ſyllabarum quanta vis:
Namque ante dicunt iſta miratum eſſe te,
Tantùm prementem dictiones auribus:
Nam cogitatorum altitudinem eloqui,
Aiens, negans, animo vacillans, abnuis,
Fouens tumorem inanibus dictis tuum.
Nec neſcius es, ô ſcriptor aſtutiſſime,
Vt ſi modò auſis de culice quid dicere,
Hic ipſe te pungendo terreret fremens:
Nobis ſuperbéque haud ſuperbis nil feras.
Si tale quid dicat Proclus, cunctans tremit,
Fides at audet ſcribere & firmè loqui.
Tu qui peregrinos temerè fundis ſonos,
Attende Procle: ne inſolenter dictites,
Dum tu aſſequendi occaſionem das ſcopi,
Silere Proclos, ruſticanos at loqui.

De admirabilitate Dei, operúmque ei⁹. Iob. 12. Rom. 1.

Natura cunctis, ſumme DEVS, incognita,
Quam nube cæca condis & caligine,
Vt hinc ſciamus, cùm vſque ſit recondita,
Tamen patere operationibus ſuis.

De cælo & cæleſtibus globis, in genere.

TV mobilem ſemper poli concham ardui
Cęleſtium pulchrè rotundata orbium
Extendis altitudine, atque eiuſmodi
Intenſione ſtabilis haud ſedem grauem.
TV pellis inſtar explicauiſti polum:

Pſ.103. Namque tuus Orpheus fila contrectans lyræ
Eſa.40. Deum canentis, nuncupat pellem polum:
Hier.51. Iob.38. Quòd longa porrecta in ſpatia profundáque
Subtilitas ſit corporum cœleſtium:
Quamquam aſſerat ſpeciem hunc habere fumidam
Turbatur Acuta perſpicacis animaduerſio,
ſcilicet viſus ob rei Dum luminum conuerſio per inania
aſpectabilis Obiectum obit ſpectationis abditæ.
diſtantiam. Siue hunc bipartitum globum inſtar fornicis
Surſum eleuatum aut eminentem prædicet,
Seu verſus ipſum orbem infimum labi putet:
Namque ex volutionibus notis ſuprà,
Spectatur altera inferiùs abſcondita:
Firmamen vt habeat baſim quæ in te ſita eſt,
Pſ.74.92. In ſede, fixo quæ caret fundamine.
Conſurgit vt ſuprà, premitur infrà polus,
Porrigitúrque ad latitudinis cauum:
At circulo pares habet diſtantias,
Ac ſtans fugit, ſaliénſque firmus permanet,
Et motionem ceu quietem, mirùm, hábet.
Contrario motu cietur quàm orbis hic,
Ne occurſus iſte complicatorum orbium
Contentioſo diſſipetur impetu:
Nam curſibus contrariis par maximè eſt,
Velocitatis nutus vbi renititur,
Obſiſtat vt reuolutionum vinculum:
Ne deferatur motionis magna vis
Per inanitatem circulorum obeuntium:

Sed

Ο σὸς γὰρ Ορφεὺς τὴν πρόφθογγον λύραν
Κρούων ὁ Δαβίδ, δέῤῥιν εἶπε τὸν πόλον.
Ως ἐκταθείσης πρὸς τὰ μήκη καὶ βάθη
Τῆς ἁπλότητος τῶν ἐν ὕψει σωμάτων.
Εἰ καὶ καπνοῦ γὰρ τοῦτον ἐμφάσεις ἔχειν
Προβλεπτική τις εἶπεν ὀξυδερκία,
Κενεμβατούσης τῆς φορᾶς τῶν ὀμμάτων
Πρὸς τὴν ἀμυδρὰν τῆς ῥοπῆς θεωρίαν.
Η σφαῖραν ἡμίτμητον ἀψῖδος δίκην
Υψουμένην ἄνωθεν, ἢ κυρτουμένην,
Η καὶ πρὸς αὐτὴν τὴν κάτω φερομένην.
Εκ τῶν ἄνω γὰρ γνωστικῶν κυλισμάτων, γρ. κυρτου-
Κάτωθεν αὐγὴ φαίνεται * κεχρυμμένη, μένη.
Οπως * ἔχει στήριγμα τὴν ἐν σοὶ βάσιν, γρ. ὅμως.
Εἰς βάθρον ἀστήρικτον * ἐστηριγμένη. γρ. ἐστηρι-
Ανω γὰρ ἦρται καὶ βαθύνεται κάτω, γμένος.
Εκτείνεται γὰρ πρὸς τὸ χάσμα τοῦ πλάτους,
Ισας δὲ κύκλῳ τὰς ἀποστάσεις ἔχει,
Εστὼς γὰρ φεύγει, καὶ διαστέλλων προσμένει
Στάσιν γὰρ τὴν κίνησιν ἀῤῥήτως ἔχει.
Τρέχει δὲ τῷ συμπλόῳ τὴν ἐναντίαν
Μήπως τὸ συγκίνημα τῶν ἐλασμάτων
Ωθημα πάσχων ἐκραγῇ τῇ συντάσει.
Εν τοῖς ἐναντίοις γὰρ εἰκότως δρόμοις,
Η τοῦ τάχους σύννευσις ἀντωθουμένη
Παρακρατεῖ τὸ σφίγμα τῶν κυλισμάτων,
Μή πως καταρραγῇ τῆς φορᾶς ἡ σφοδρότης
Εν τῇ κενώσει τῶν τομῶν κυκλοδρόμων,

Ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένον
Τοῖς ἀνθελιγμοῖς συγκρατεῖται τῆς τάξεως,
Βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
Ἐστι δὲ πασῶν ἀκροτήτων ἀκρότης,
Ὅρος δὲ πάντων ἐστὶ τῶν ὁρισμάτων·
Ἀφίσταται δὲ τῶν ἀφεστώτων ὅλων,
γρ. τούτων. Οὐδὲν δὲ τούτου μεῖζον ὡς ἀμετρία.
Ἐντεῦθεν αὐτὸν ἐκπλαγέντες ὡς μέγαν,
Ὡς εὐρὺν, ὡς ἄπειρον, ὡς ἐπηρμένον,
Μύθοις ἔπλαττον, ὡς ἀτλαντικοῖς πόνοις,
Μακρὸν ὑποστήριγμα κιόνων ἔχει.
Ἴσως τὰ μακρὰ τῆς ἀδηλίας βάθη
Στύλων ἀβάθρων ἐκτυποῦντες ἐμφάσει.
Μέγας γάρ ἐστιν ὡς θεοῦ μικρὸς θρόνος.
Ἡβᾷ δὲ γηρῶν, καὶ παρακμὴν οὐκ ἔχει,
Ἕως ὁ πηγνὺς αὐτὸν εἱλίξει λόγος.
Στολίζεται δὲ τὸν χιτῶνα τὸν μέγαν,
Τὸν ἀέρα κλωσθέντα κερκίδι ξένῃ.
Χυτὸν, διαυγῆ, λεπτὸν, ἠραιωμένον,
Εἰς πᾶσαν εἰσδύνοντα σωματουργίαν.
Περιέρχεται δὲ νυμφικῶς ἐστεμμένος,
Λαβὼν διαυγεῖς μαργαρίτας ἀστέρας.
Ἔχει δὲ πρὸς τὰ στέρνα λυχνίτην ἕνα,
Ὡς πῦρ ἀποστίλβοντα πρὸς τὴν ἡμέραν.
Ἄλλον δὲ λευκόπυρσον ὡς πρὸς τοὺς πόδας,
Δεικνῦντα λευκὴν πανταχοῦ τὴν ἑσπέραν·
Φρουρεῖ δὲ πᾶσαν, ὡς ἐν εἱρκτῇ τὴν φύσιν.
Τηρεῖ δὲ τὰ στοιχεῖα φραγμώσας ὅλα.

Κόλπος

Sed hæreat, quaſi vinculo adſtrictus, polus,
Pernicitatis inuolutionibus,
Baſi vaganti, & lationi immobili.
Polus omnium eſt extremitatum ſummitas,
Ac terminorum terminus planè omnium:
Abſcedit à cunctis procul diſtantibus,
Immenſitáſque ſola menſura illius.
Hinc obſtupentes plurimi, ingentem velut,
Et latum & immenſum, eleuatúmque altius,
Finxêre vt hic Atlanticis laboribus
Ingentium fulcrum columnarum occupet: Ariſt. 2. de cælo, cap. 1. Atlãtis allegoria explicatur.
Obſcuritatis forſitan voragine
Sub talium expreſſa columnarum typo.
Ingens enim eſt, velut Dei paruus thronus:
Pubes ſeneſcenti eſt, vigor nec deficit,
Dum ſermo pollens hunc ciet qui condidit.
Velatus ille eſt maximo velamine,
Nempe Aeris, radio nouo qui textus eſt.
Hic fuſilis, tenuis, refulgens, rarus eſt, Aer.
Penetrans in omnem corporum molem illicò.
Procedit ergo ſplendida ornatus toga,
Vt margaritas clara geſtans ſidera: Stellæ.
At pectori adiunctum vnicum lychnitem habet, Sol.
Vt flamma, ſplendentem diurna ad tempora:
Candore fulgentem alterum, quaſi ad pedes, Luna.
Vbique candidum indicantem veſperum.
Vt carcere omne continet rerum genus:
Elementa ſeruat cuncta, cingítque aggere:

Sinúſque motu præditorum eſt omnium,
Anteuenit omnem cuncta motum concitans,
Punctíque tellurem inſtar in medio gerit:
Nulláque firma in ſede ſtabilitus, tamen
Cinctum orbe centrum parte ab omni ſuſtinet:
Conuoluit idem abyſſum, vt in cunabulis:
Circundat omnem, rete ceu quodam, plagam.
Coërcet omnia, quæ, Deus, ſolus regis:
Tantámque molem arcens ſuis amplexibus,
Arctatur extra, latitudo quâ patet:
Immenſitas namque orbium cæleſtium
Dimenſa tecum, eſt punctum in anguſto ſitum.
Summe artifex multiplicis adeò tegminis,
De Situ orbis terrarũ.
Naturam enim deſcribis omnem, ceu liber,
Tua dioptra, contegíſque infra abditos,
Atque accolas, hoc ſubdiali vmbraculo:
Cremas quidem vríſque ignibus clarum æthera,
At minimè conſumis calore condita,
Imò vt placet rem quamque ritè collocas.
Tu perbeatas Angelorum eſſentias,
De Angelorum figuris & hymnis.
Vel ſpiritum indicas, vel ora flammea,
Vim feruidam pingens acutámque his datam:
Vel quadriformæ imaginis fingis nota,
Dum robur ac diuerſitatem harum exprimis.
Aut luminum expãdis numerum in his maximum,
Lucem vt tuam poſſint videre apertiùs,
Et lateat ipſas quod cietur hîc nihil.
Nam hymnos canunt tibi, Imperatori ſuo,

Cherubim,

Κόλπος δὲ παντὸς γίνεται κινουμένου,
Φθάνει δὲ πᾶν κίνημα, συγκινῶν ὅλα,
Στιγμὴν δὲ τὴν γῆν ὥσπερ ἐν μέσῳ φέρει.
Ἐπ' οὐδενὸς δὲ πήγματος πεπηγμένος,
Τὸ κοσμαγωγὸν ἀντερείδει κέντρον·
Σιωδεῖ δὲ τὴν ἄβυσσον ὡς ἐν σπαργάνῳ·
Κυκλοῖ δὲ τὴν σύμπασαν, ὡς ἐν δικτύῳ·
Σφίγγει δὲ πάντα σοὶ μόνῳ κρατούμενα.
Καὶ τὸν τοσοῦτον * ὄγκον ἐγκλείσας ἔσω,
Ἔξωθεν αὐτὸς τῷ πλάτει συσφίγγεται· γρ. κόσμον
Μετρουμένη γὰρ οὐρανῶν ἀμετρία,
Ὡς πρὸς σε στιγμὴ γίνεται στενουμένη.
Ὦ μηχανουργὲ τῆς πολυστρόφου στέγης,
Διαγράφεις γὰρ πᾶσαν ὡς θέλεις φύσιν
Τῇ σῇ διόπτρᾳ, καὶ στεγάζεις τοὺς κάτω,
Καὶ τοὺς περιοίκους, εἰς ὑπαίθριον * σκέπτῃ. γρ. σκέπεις.
Διαφλέγων μὲν καὶ πυρῶν τὸν αἰθέρα,
Πλὴν μὴ φλογίζων τῇ πυρώσει τὴν κτίσιν,
Ἀλλ' ὡς δοκεῖ σοι πᾶσαν ἁρμόζων φύσιν.
Ὦ ταῖς ἀδήλους οὐσίας τῶν ἀγγέλων
Ἢ πνεῦμα δεικνὺς ἢ πυρίστομον φλόγα,
Τὸ θερμὸν αὐτῶν καὶ τομὸν διαγράφων
Ἢ τετραμόρφῳ σχηματίζων εἰκόνι,
Τὸ στεῤῥὸν αὐτῶν ζωγραφῶν καὶ ποικίλον·
Ἢ πλῆθος αὐτῶν ἐξανοίγων ὀμμάτων,
Ὡς καὶ τὸ σὸν φῶς ἐμφανέστερον βλέπειν,
Καὶ μὴ λαθεῖν τι τῶν κάτω κινουμένων.
Σοὶ γὰρ φέρουσιν ὕμνον, ὡς νικηφόρῳ,

Χερουβὶμ, ἀρχαὶ, καὶ θρόνων στρατεύματα,
Καὶ πᾶς Σεραφὶμ εἰς ἀκίνητον τάχος
Ἑστὼς πτεροῦται, καὶ πεπηγμένος τρέχει.
Καὶ ταῖς δυσὶ μὲν τοῦ προσώπου τὴν θέαν
Σκέπει πτέρυξι, ταῖς δυσὶ δὲ τοὺς πόδας,
Καὶ ταῖς δυσὶ πρὸς ὕψος ἵπταται μέγα·
ἴσ. τριφεγγές. Καὶ τὸ * τριφεγγὲς τῆς ἁγιστείας * σέλας
γρ. μέλος. γρ. σέλας. Εἰς ἓν συναρμόζουσι κύριον * σέβας.
Δεικνύντες εὐσύνοπτα τῇ διαιρέσει,
Καὶ τῇ συνέξει τοῦ θεορρύτου λόγου,
Διαιρετῶς μὲν τὰς ὑποστάσεις σέβειν,
Ἡνωμένως δὲ προσκυνεῖν τὴν οὐσίαν,
γρ. ἐμφαντικὴν τρ. ὀρθοδοξίαν. Ἐκφαντικῇ * τρανοῦντες ὀρθοδοξίᾳ,
Τὴν † ἑνότητα τοῦ λόγου σαρκουμένην,
γρ. τ. ἀδιότητα. Εἰς ἀλλόφυλον μὴ ῥυῆναι τετράδα,
Ἀλλ' ἓν πρόσωπον καὶ θεαρχίαν μίαν,
Πρὸ σαρκὸς ὑμνεῖν καὶ μετὰ * σαρκὸς λόγον,
γρ. σάρκωσιν. Τὸν αὐτὸν ἄνθρωπόν τε καὶ θεὸν φύσει,
Μὴ προσθέσει χυθέντα, μὴ διαιρέσει
Τομὴν παθόντα, μὴ τραπέντα συγχύσει,
Διπλοῦν τὸν ἁπλοῦν, μηδαμοῦ πεφυρμένον.
γρ. κτισμάτων. Ὦ πρὸς τὸ κάλλος τῶν ἐν ὕψει * σωμάτων
Λειμῶνα πολλῶν ἐμφυτεύσας ἀστέρων,
Καὶ νύκτα κοσμῶν, καὶ στολίζων ἡμέραν
Καὶ φῶς καθαίρων, καὶ μελαίνων ἑσπέραν,
Καὶ πῦρ γεωργῶν, καὶ κατασπείρων ὕδωρ,
Τὰ κοινὰ τοῖς χρήζουσι θησαυρίσματα.
Ὦ λεπτόσωμον ἐκχέων τὸν ἀέρα·

Cherubim, Poteſtates, Thronorum exercitus,
Seraphímque cunctus celeritate immobili
Stans aduolat, fixúſque pernix curſitat:
Binis & alis velat aſpectum ſuum,
Alíſque geminis protegit pedes ſuos,
At alteris binis in altum tollitur.
† Aptantque Numinis iubar ter lucidum
Ad vnicam venerationem principem.
Sicque euidenter indicant, dum diuidunt
Iungúntque verbum, quod fluit diuinitus,
Hypoſtaſes diuiduè honorandas quidem,
Subſtantiam at ſolùm eſſe adorandam vnicam:
Plana docentes, recta & in Deum fide,
In carne Filium editum, Verbum ſacrum,
Extraneam haud quaternionem admittere,
Perſonam at vnam, principatum vnum Dei,
Verbum ante carnem colere, poſt carnem quoq;,
Simul Dei naturâ & hominis præditum:
Non auctione fuſum, & indiuiſum ea
Partitione, à mixtione liberum:
Idem eſt duplex, ſimplexque, purum maximè.
Tu pulchritudine orbium cæleſtium,
Quamplurimorum ſiderum pratum ſeris,
Ornas tenebras, & diem velo induis,
Lucémque luſtras, veſperúmque atrum facis,
Ignem excolis, ſeménque in vndas coniicis,
Opes egenis quas recondis omnibus.
Subtile corpus, Aërem, tu diſſipas,

† vide an leg. Sanctúmque Numinis melos ter côcinunt.

De Mundi toti' ornatu.

De Aere denuò.

Ad hunc enim reuertor ipſe identidem,
Quem dum loquor reſpiro nunc vel maximè,
Qui cùm ſe vbique fundat, eſt fixus tamen:
Spiraminiſque libripens iuſtiſſimus:
Fluxus perennis, munus argento haud datum.
Non diues, aut quantumlibet princeps potens,
Auræ amplioris percipere tractum queat.
Effundit in cunctos ſuam æquè gratiam:
Tum ſingulis ſimplex patet, tum multiplex,
Reciſus integer eſt, fluitat haud turbidè:
Vnitus in diſpertiendis flatibus:
Concretus & ſtans, vndiquaque profluit.

De Sole & eius proprietatibus, vt pſal. 18.

Titana Solem tu creaſti maximum:
Nam me iuuat cum Sole rurſus colloqui,
Auidè intuens notiſque ſignans hoc iubar:
Commune lumen, peruidentem omnia oculum.
Hic altor ignis omnium, qui veſperum
Cùm ſubter eſt terram facit, ſupra at diem.
Hic orbis eſt ſpeculum, vel è contrario,
Scintilla viſus, ſplendor vnde luminum,
Vel fulgor emicans procul, peregrina vel
Vtcunque res inducta, viſum perficit.
Nil motioni eſt illius reconditum,
Eſtque omnibus ſua lampas irradians ſatis.
Et ad profundum extremitatum præuenit,
Luciſque fontes orbe concitas habet.
Communis eſt hortator opificum omnium:
Verſatur at curſu polo contrario,

Oculi qua ratione illuſtrentur: vide Ariſt. de Sẽſ. c. 2. & lib. 2. de Aio. c. 7.

Πρὸς γὰρ τὸν αὐτὸν ἀντανέρχομαι πάλιν,
Καὶ μᾶλλον αὐτὸν νῦν λαλῶν ἀναπνέω,
Τὸν πανταχοῦ ῥέοντα, καὶ πεπηγμένον,
Τὸν εὐτάλαντον τῆς πνοῆς ζυγοστάτην,
Τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν.
Ου πλούσιος γὰρ, οὐ δυνάστης ἁρπάσει
Γνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα,
Αλλ᾽ εἰς ὅλους περίεισι τὴν ἴσην χάριν,
Καὶ πᾶσιν ἁπλοῦς φαίνεται καὶ ποικίλος,
Τομαῖς ἀτμήτοις, εἰσροαῖς ἀσυγχύτοις·
Εν τῷ μερίζειν τὰς πνοὰς ἡνωμένος,
Εν τῷ περιχεῖσθαι πανταχοῦ * συνημμένος. γρ. συνηρμένος.
Ω τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
Σφίζω * γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν, γρ. φείδω.
Βλέπων ἀπλήστως καὶ γράφων τὸν ἥλιον,
Τὸ κοινὸν ὄμμα, τὴν πανοπτρίαν κόρην·
Τὸ πάντροφον πῦρ, τὸν ὑπὸ γῆς μετὰ ἑσπέρας,
Υπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας·
Τὸ κοσμικὸν κάτοπτρον, ἢ τοὐναντίον
Τὸν ὀπτικὸν σπινθῆρα, τὴν τῶν ὀμμάτων
Εκλαμψιν ἢ † πρόσλαμψιν, ἢ ξένην φύσιν γρ. πρόσβλεψιν, ἢ ξένην λύσιν.
Εν εἰσαγωγαῖς * ἐκδοχὰς ποιουμένην. γρ. ἐκδοχῶν.
Ουδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη,
Αρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς * ἀκτῖνος· γρ. ἀλμύδος.
Φθάνει δὲ μέχρι τοῦ † βάθους τῶν τερμάτων· γρ. βυθοῦ.
Φωτὸς δὲ πηγὰς κοσμοκινήτους ἔχει.
Εστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω.
Τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν·

Immotus vt ſic lationis impetus
Decurſibus prematur aduerſis ſibi:
Ne vinculum volutionum corruat
Intenſione, quæ fit in rectum, orbium.
Sed ceu implicatus colligante vinculo,
Pernicitatis ſtringitur retinaculis,
Baſi vagante, motione non vaga:
Nam niſi maneret ſtabilis, at diuerteret,
Incendio flagraret orbis illicò.
Tu Lunæ opacam lampada orbe in infimo
Accendis, inſtauráſque Solis ignibus:
Nam commodat Sol lumen huic radijs ſuis,
Nec ſat ſcio quî id aſſerant, forſan tamen,
Nón tanquam egeres mutuato lumine:
(Siquidem ante Solem lumen infundis tuum)
Sed conditis vt rebus hunc modulum inderes
Pulchræ neceſſitatis, & docti imperî.
Vt indiga almæ lampadis Phœbi ſoror
Induceret perceptiones humidas:
(Humore namque gaudet adiuncto calor)
At feruidus vigore Phœbus aureo
Expromat inſitos vapores illius:
Vt mixtio hæc par ſit iugali vinculo,
Cùm copulantur duo creandi gratia,
Fœtuſque pulchros edat è lætis ſatis,
Sponſum calentem Luna coniungens ſibi.
Hoſtile nil, pugnáxve condidit Deus:
Sed quaſi ſorores genitor, & rector domus,

Luna, quî radijs Solis accendatur.

Elementorũ 4. vinculum.

Concordia ligat, repugnant quæ ſibi,
Quaternionis ordinem edens diſparis:
Malim, Quatuor columnarum inſtar infractus foret.
Vt vniuerſus mundus hic, magna vt domus,
† Quatuor arietum perſtet infractus modo:
Firmamine aſſumpto, quod vndique nititur.
Res iungis ita, natura quarum diſſidet,
Suades & illas domicilia coniungere,
Hoc prælio aſpirante nutum ad vnicum,
Vt reliqua communis ſit his concurſio:
Aër.
Et hæc quidem contexat aëreum hoc opus,
Subtile ſtamen, vitæ ad almum ſpiritum.
At ignis hæc natura fila valida net,
Ignis.
Tunicámque conficit fouenda ad corpora.
Aqua.
Producere alia imbres ſolet largos aquæ,
Feruore nimio ne crementur cætera.
Terra.
Ac terra demum ædes decoras efficit,
Et in dies nobis parat conuiuia.
Diſcordia concors.
Sic altiùs quàm mens capiat, eſſentias
Pugnare quæ videntur, vnà colligas.
De quatuor anni tẽpeſtatum viciſſitudine. Xenophon lib. 6. Cyri inſtitut. Hor. lib. 4. od. 7.
Æſtatis etenim flammeus vigor ſuum
Feruorem in hiemem frigidam haud mutat citò,
(Nam ſummitates, cùm repentinæ, nocent)
Sed temperatum ad tempus, autumnum & grauem,
Senſim rigorem nutricat dulcedine.
Nec frigore à duro, calorem ad feruidum,
At floridum ver primum adit, placidè amouens
Brumam rigentem, vt mox calores ingerat.
Atque hæc viciſſim agunt reciproca via,

Inſtar

Εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις,
Τάξιν τε δεικνὺς τῆς ἀτάκτου τετράδος.
Ὅπως ὁ κόσμος οὗτος, ὡς οἶκος μέγας,
Ἄρρηκτος ἔσται τεττάρων † κριῶν δίκην, ἴσ. κιόνων.
Λαβὼν ὑποστήριξιν ἀντωθουμένην.
Οὕτως συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
Πείθεις δὲ ταύτας ἐν συνοικίᾳ μένειν,
Εἰς ἓν θέλημα συμπνεούσης τῆς μάχης,
Ὡς λοιπὸν αὐταῖς κοινὸν εἶναι τὸν δρόμον
Καὶ τὴν μὲν ἔργον ἀερόστημον πλέκειν,
Ὕφασμα λεπτὸν εἰς ἀναπνοὴν * βίου. χ. μιᾶς.
Τὴν δ' αὖ πυρὸς νήθουσαν ἀρραγεῖς μίτους,
Χιτῶνα ποιεῖν εἰς τὸ θάλπειν τὴν φύσιν.
Τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ, χ. ὑπερβρασθῇ.
Μήπως τὸ θερμὸν φθαρτικῶς * ὑποβρασθῇ.
Τὴν γῆν δὲ ποιεῖν εὐπρεπῆ τὴν οἰκίαν,
Καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
Οὕτως ὑπὲρ νοῦν ἐργάσω τὰς οὐσίας,
Ἐν τῇ δοκήσει τῆς μάχης, ἡνωμένας.
Καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης,
Οὐκ εὐθὺς εἰς χειμῶνα τὴν θέρμην τρέπει,
(Αἱ γὰρ μετάρσεις βλαπτικαὶ * τῶν ἀνθρώπων) χ. τῶν σωμάτων.
Ἀλλ' εἰς τὸ μετόπωρόν τε καὶ κρᾶσιν μέσην,
Τῷ μαλθακῷ τὴν ψύξιν ἠρέμα τρέφει.
Κἀντεῦθεν εὐθὺς οὐ πρὸς ἄκρατον ζέσιν,
Ἀλλ' εἰς ἔαρ μέτεισι, καὶ λεληθότως
Τὸν κρυμὸν ὠθεῖ, καὶ τὸ καῦμα συλλέγει.
Καὶ ταῦτα δρῶσιν ἐξ ἀμοιβαίου δρόμου,

Inſtar puellarum choros agitantium,
Digitoſque conſerentium inter ſe ſuos,
Vitæ decoræ vt choream agant pulcherrimam.

Comparatio temporum viciſſitudinis cum chorea. Theod. Cyr. in amic. exul.

O quâta, quámq; ampla eſt, tuorû operû, DEVS,
Opifex poteſtas hæc, palàm oculíſque omnium!
Bruma vigente, arbuſta ſtirpéſque ocyùs
Penetrabili vſtæ frigore, areſcunt: decor
Recedit, infirmi labaſcunt ramuli,
Cadunt folia, tanquam cadaueri pili.
Poſt paululum labem eluunt iſtam arbores,
Reddunt venuſtatem, comas gignunt nouas,
Baccis decus ineſt, folia ſunt velut comæ,
Hæc abditis quaſi è ſepulchris prodeunt,
Generis ſui aſſuetam ad reuiuiſcentiam.

Brumæ & veris deſcriptio.

Æſtatis ecce tempus inſtat, nec ſcio
Quonam modo Sol ille flammis lucidus,
Momento eadem temporis, curſu & pari,
Hîc inficit nigrore vultus quos cremat,
Idem alibi rurſus alba corpora indicat:
Idem aridi fœtus ſatorum vt ſint facit,
Reddit liquorum idem vapores humidos,
Hos namque miſcet curſibus per aërem.
Viæque comes vdo calens adiungitur,
Vt temperatum miſceatur in modum,
Hæc qualitatum ſummitas, quæ ipſis ineſt:
Ne rapidè adurat omnia immodicus calor,
Cùm nullus adſit intus vuidus vapor:
Neu humoribus redundet iſte neutiquam

De Æſtate & Solis effectu.

Hic locus eſt ſuſpect.

Curſus liquore deſtitutus humido.
At veluti bini ad vnicum artifices opus:
Vapor quidem humectat, parítque gramina,
Et gignit Autumni aſperos fœtus grauis:
Inque his leuia multa integumenta explicat,
Ne ſic grauetur tener & infirmus liquor,
Nimis aut prematur arctiore vinculo,
Atque inde pomi ſuccus omnis excidat.
Nam gramen eſt concretionis indigens,
At mollitudinis liquorum firmitas.
Ergo duobus vnus occurrens calor,
Laxans & aſtringens modo dictu nouo,
Quod deficit, donis replet contrarijs:
Herbæ quidem radicem adhærentem creat,
Feruore mox tenui liquores condiens,
Vt carneum ſuauem cibum rore apparat.

Comparatio inſignis.

Vt accidit cùm cordibus duriſſimis
Scintilla Solis mentium ſuperuenit,
Quæ fouet & emollit, alit & corroborat,
Ex ſterilitate fructum amœnúmque inſerit.

Elementorũ & temporis cum Curru ſimilitudo.

Tv quadriiugi currus modo quatuor locas
Elementa, curſúsque habenis ſuſtines,
Septem dierum conuolutis orbibus:
Vitæ ſed axem vertis humanæ citum
Menſura eâdem, fluctuante nec rota.
Repagulorum limites ſeruas ratos,
Excurrat vt ne vehiculum orbitam ſuam,
Lacerúmque fiat, turbet aut ſpectaculum,

Aut

Τῆς ὑγρότητος ἡ φορὰ μονουμένη.
Ἀλλ' ὥσπερ εἷς ἓν ἔργον ἐργάταις δύο,
Τέγγει μὲν ἰκμάς, καὶ προσβάλλει τὴν πόαν,
Καὶ τῆς ὀπώρας ὠμὰ τίκτει τὰ βρέφη,
Ἐν οἷς τὰ πολλὰ λεπτὰ τείνει σαρκία,
Μή πως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης,
Καὶ θλίψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
Κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ.
Ἐπεὶ δὲ δεῖται πήξεως μὲν ἡ χλόη,
Χαυνώσεως δὲ τῶν ὀπῶν ἡ στερρότης·
Θέρμη συναντήσασα ταῖς δυσὶ μία,
Χαυνοῦσα καὶ σφίγγουσα τῷ ξένῳ λόγῳ,
Πληροῖ τὸ λεῖπον δωρεαῖς ἐναντίαις.
Καὶ τῇ χλόῃ μὲν ῥίζαν ἑδραίαν φύει· γρ. χαυνώσασα.
Λεπτῇ δὲ * χυλώσασα τοὺς ὀποὺς ζέσει, γρ. δρόσον.
Τὴν βρῶσιν ὡς ἔντεχνον ἀρτύει * δρόσῳ.
Ὡς καὶ παρ' ἡμῖν ὠμότητα καρδίας,
Σπινθὴρ νοητοῦ προσβαλόντος ἡλίου,
Θάλπει, μαλάττει, καὶ πεπαίνει καὶ τρέφει,
Καὶ καρπὸν ἐντίθησιν ἐξ ἀκαρπίας.
Ὦ τετράπωλον ὥσπερ ἅρματος θέσιν,
Στοιχεῖα τάττων, ἡνιοχῶν * δὲ τοὺς χρόνους, γρ. ἱππεχῶν δὲ δρόμοις.
Ἐν ἑπτακύκλοις ἡμερῶν * περιδρόμοις· γρ. περιόδοις.
Διεξάγων δὲ τοῦ βίου τὸν ἄξονα,
Ῥυθμῷ * συνήθει, καὶ τροχῷ βεβηκότι γρ. ῥυμῷ. Hanc lectionē, ſi germana eſt, ſequar, interpretando, Temone cōſueto, & rota firmiſſima.
Καὶ συμφυλάττων τὰς συνεκτικὰς θύρας,
Μή πως ὄχημα τοῦ συνήθους ἐκδράμῃ,
Καὶ σκύλμα πέμψῃ, καὶ ταράξῃ τὴν θέαν,

γρ. φύσιν, καὶ φείσιν. Δημοφθόρου τε* λύσιν ἐμβάλῃ μάχης·
Ἀλλ' ὥστε πάντων τακτὸν εἶναι τὸν δρόμον,
Καὶ μηδὲν ἡμᾶς αὐτοδέσποτον βλέπειν·
γρ. τὴν κτ. Κοινὴν δὲ δούλην πᾶσαν εἶναι σου* κτίσιν·
Καὶ μήτε συνδεθεῖσαν εἰς λύσιν τρέχειν,
Μηδ' αὖ παρελθεῖν τοὺς πεπηγμένους ὅρους,
(Εἰ μὴ μόνος σὺ τὴν τροπὴν ἀπεργάσῃ,
Καὶ γὰρ συνεῖδες προσκοπῶν τὸ συμφέρον)
Τῶν σῶν μεγίστων ἐργοχείρων τὴν κτίσιν
Μή τε τρέπεσθαι πᾶν γένος, καὶ συγχύσεις
γρ. ἐπεισάγειν. Ταῖς κοσμολεθέροις ἐκτροπαῖς παρεισάγειν,
Μηδ' αὖ μένειν ἄτρεπτον, ἀλλ' ἔχειν ὅρους
Τρεπτῆς ἀνάγκης, μὴ λαθοῦσα τῷ χρόνῳ,
Θεὸς νομισθῇ τοῖς ὁρῶσιν ἡ κτίσις.

Τίς γὰρ σελήνην ἢ τὸν ἥλιον βλέπων,
περὶ ἐκ- Ὀφθαλμιῶντας τῇ πρὸς ἔκλειψιν νόσῳ,
λείψεως. Οὐκ εὐθὺς ἔγνω τῇ διδασκάλῳ φύσει,
Ὡς οὐκ ἂν ἠλλάξαντο φωστῆρος γνόφον,
Εἰ μὴ παθηταῖς ἐζοφοῦντο λαμπάσι;
Ἢ τίς τὸν αὐτὸν δυσσυνόπτως ἀστέρα,
περὶ ἑώου, Καὶ φωσφόρον γνοὺς, καὶ σκοπήσας ἕσπερον,
καὶ ἑσπέρου. Οὐκ οἶδεν αὐτὸν ἐργάτην διπλοδρόμον,
Κήρυκα νυκτὸς, καὶ προφήτην ἡμέρας;

Τίς τὸν μέγιστον οὐρανὸν τοῦτον βλέπων,
περὶ οὐρα- Καὶ τὴν ἀκίνητον ἣν ἔχει βίαν,
νοῦ. Τῶν ἀστέρων τε τὰς συνεχεῖς καταστάσεις,
Νῦν μὲν βορείας, νῦν δὲ κινήσεις νότου,
Ἐν ἐκδρομῇ ποιοῦντας, ἢ μεταστάσει·

Ἢ τὸν

Aut concitet pugnæ aſperæ cladem horridam:
At curſus omnium ordinatus ritè ſit,
Et nil ſub aſpectum cadat iuris ſui:

Philo Iud. lib. de x. præc. Dei.

Naturáque omnis condita vni ſeruiat,
Nec, vincta, ſolui vinculis poſſit ſuis:
Neu tranſiliat vnquam datos fines ſibi,
(Niſi tu ipſe commutationis autor es,
Nam quid iuuent offenſiones, proſpicis)

Manus Dei opifices maximas appellat, vt propheta regius pſal. 8. opera digitorum Dei cælos vocat.

Manuum tuarũ opus, quæ opifices † maximæ:
Né ve omne mutari genus, & inducere
Turbas ruinis orbis ingentes queat:
Nec rurſus immotum maneat, at limites
Neceſſitatis occupet, ne temporis
Lapſu æſtimetur res creata quis Deus.
Lunæ quis almam, Solis aut ſtellam videns
Defectionis ſubijci laboribus,
Natura ab optima magiſtra haud percipit,

De Solis & Lunæ defectu.

His luminibus vllas tenebras non fore,
Ni inducerent eas patibiles lampades?
Quís ve vnum & idem ſidus acri lumine,

De Veneris ſtella, Lucifero & veſpero, cui Ariſt. 5. Eth. iuſtitiã comparat.

Modò Phoſphorum, modò Veſperum, ſi perſpicit,
Hoc neſciat, binorum opificem curſuum,
Lucis prophetam, noctis eſſe nuncium?
Quis maximũ hunc cæli ambitum circumſpicit,

De cæli conuerſione. pſal. 18. 88. 135.

Rapidiſſimam conuerſionémque illius,
Tum ſiderum quæque ampliora lumina,
Cùm nunc ad Aquilonem, iam ad Auſtralem plagã
Excurſione, aut tranſitu, flectunt iter:

Aut aëris perfuſi abyſſum maximam,
Hîc frigore gelidam, calore hîc torridam,
Incurſionibus & coactis ſubditam,
Eſſentiam immutabilem animo cogitans,
Quod ſemper immutatur, haud ſeruum æſtimet?

Meteora. Quidquid mouetur magis pēdet è vi mouēte, quàm cōtrà.

Quis grādinem, aut æſtum, vel atrum nubilum,
Ignéſve iaculatos, fauillám ve madidam,
Terram trementem, mox remiſſámve intuens,
Ignoret eſſe ſubditum tam agitabile?

De Mari.

Quis tot procellis concitum Mare aſpicit,
Nec cernit illud, more fugitiui viri,
Extra refugiens, ac retentum intra alueum?

Pſal. 93. Baſil. hom. 4 in Hexaem.

Hoc, ſæpius feruore aduſtum frigido,
Ac turbulentis fluctuum concurſibus,
Quaſi Mænas inſana & furens, toto impetu
Circumfluum allidit ſolo, iráque æſtuans,
Audentiùs dilatat os vaſti æquoris,
Et miſcet vndas murmure, & ſpumam exſpuit,
Labríſque circumfunditur viridi ſalo:
Ac fluminum pleraſque ſcatebras hauriens,
Salſuginem crudam è profundo proijcit:
Turbatum at ingluuie ſuæ temulentiæ
Effringere obices tentat, atque excurrere,

Pſal. 32. & 88.

Sed truditur, ſiſtítque perculſum metu:
Nec vda verò tranſit vndarum oſtia,
At labitur retrò ſupinis fluctibus,
Vt famula quæ ſuis retrahitur crinibus:
Si quidem eſt coërcitio creaturæ vtilis,

Quò

Ἢ τὴν ἄβυσσον τοῦ χυθέντος ἀέρος,
Ψυχρουμένην νῦν, καὶ πάλιν πυρουμένην,
Καὶ προσβολὰς πάσχουσαν ἠναγκασμένας,
Οὐ τὴν ἄτρεπτον ἐννοήσας οὐσίαν,
Δούλην νομίζει τὴν ἀείτρεπτον * κτίσιν; γρ. φύσιν.
Τίς βρασμὸν ἢ * χάλαζαν, ἢ χύσιν ζόφου, γρ. θάλασσαν
Ἢ πῦρ καταχθὲν, ἢ βραχεῖσαν αἰθάλην,
Ἢ γῆν τρέμουσαν καὶ παρειμένην βλέπων,
Οὐκ οἶδε δούλην τὴν κλονουμένην κτίσιν;

Τίς τὴν θάλασσαν ἀστατοῦσαν προσβλέπων, περὶ θαλάσσης.
Οὐκ οἶδεν αὐτὴν δραπέτου τινὸς δίκην,
Φεύγουσαν ἔξω, καὶ κρατουμένην ἔσω;
Ἢ πολλάκις ζέουσα τῇ ψυχρᾷ ζέσει,
Καὶ ταῖς ἀτάκτοις προσβολαῖς τῶν ῥευμάτων,
Ὅλην ἑαυτὴν οἷα μαινὰς ἀγρία,
Τῇ γῇ * προσαράσσουσα, καὶ θυμουμένη, γρ. περικλύσασα.
Θρασύνεται μὲν, καὶ πλατύνει τὸ στόμα,
Καὶ πολλὰ κράζει, καὶ τὸν ἀφρὸν ἐκπτύει,
Καὶ συμπέφυρται πρὸς τὰ χείλη τῷ στόματι.
Κρουνοὺς δὲ πολλῶν ἐκπιοῦσα ῥευμάτων, γρ. ἐκπτύουσα.
Ἄπλετον ὕλην ἐκ βάθους ἐρεύγεται.
Τῇ πλησμονῇ δὲ τῆς μέθης ταράττεται,
Ῥῆξαι τε τὰς κλεῖς, καὶ * διαδράσαι θέλει. γρ. διαδρᾶναι.
Ἀνθέλκεται δὲ, καὶ φοβεῖται, καὶ μένει,
Καὶ τὰς ἐνύδρους οὐ * παρέρχεται θύρας, γρ. περιτρέχει.
Ἀλλ᾽ εἰς ἑαυτὴν ὑπτίως ἀνατρέχει,
Ὡς οἷα δούλη τῶν τειχῶν κρατουμένη.
Μαστίζεται γὰρ συμφερόντως ἡ κτίσις,

Ὅπως ἀπλήγως σωφρονισθῶμεν φόβῳ·
Φείδει προνοίας τοῦ τεχνίτου τῶν ὅλων
Καὶ συσταλῶμεν, ὡς φοβήτρῳ παιδία,
Ἢ καὶ τὰ μικρὰ τῶν κυνῶν τετυμμένα,
Τὸ τῶν λεόντων σωφρονίζουσι θράσος.
Ὢ μέχρι πάντος ἐνδιδοὺς ὑποθέσεις
Ταῖς ἐκπροθέσμοις τῶν χρεῶν προθεσμίαις.
Ὁδοστατῶν δὲ τὴν ἁμαρτίαν φόβῳ,
Βίας τε ποιῶν εἰς τὸ σῶσαι τὸν βίον,
γρ. ἐντόμως. Καὶ μὴ δικάζων * συντόμως, ὁπηνίκα
Σφαλῶμεν ἡμεῖς, ἡ κλίσις δὲ λύπεται),
Ποινάς τε παρὰ τῶν ἐμῶν ἐγκλημάτων,
Ἀλλοτρίῳ μάλωπι τραυματουμένη.
γρ. μεταβάσει. Ὡς ἐν * μεταρσῷ λοιμικῆς ἀῤῥωστίας,
γρ. τομύτ. Ἄλλων ἐχόντων τὴν * τομὴν τῶν τραυμάτων,
Ὁ τοῦ πάθους κίνδυνος εἰς ἄλλους τρέχει.
Καὶ γίνομαι νῦν τῶν φρενῶν ἐν ἐκστάσει,
Πῶς ὁ κριτὴς δίκαια θεσπίζων ὅλοις,
Προσωποληπτεῖ, καὶ φιλανθρώπῳ χερί,
Ἄλλου σφαγέντος, ἄλλον ἕλκει πρὸς δίκην.
Καὶ πῶς ὁ κρίνων τοῖς δικάζουσι κρίσιν,
Ἢ δῶρα λαμβάνουσιν ἐγκαλῶν μέγα,
Αὐτὸς δὲ δῶρα λαμβάνειν ἐπείγεται,
Πτωχοὺς ὑπουργοὺς ἀξιοχρέους ἔχων·
γρ. μυστικούς. (Ὡς εἴ τις εἴποι * πιστικοὺς δομεστίκους)
γρ. τὴν κλίσιν. Ἐξ ὧν ἀπαιτεῖ καὶ προδοῦναι * τὴν δίκην.
Σφύζει δι' αὐτούς, μὴ φοβούμενος ψόγον.
Καὶ λαμβάνει θέλημα χρυσίου πλέον

Ἄρτῳ

Quò verberibus abſque inſtruamur territi:
(Quæ prouidentiæ venia opificis Dei eſt.)
Et cohibeamur pueri vt à larua ſolent,
Seu verberati paruuli flagro canes
Audaciam feram leonum comprimunt.
Tv das moras longiſſimas ad debiti
Solutionem præſtituto tempori:
Obſiſtis omni crimini formidine,
Incolumis vt ſit vita, vim fieri ſinis:
Nec iudicas rigidè, quibuſcunque accidit
Errare nos horis: opus ſed conditum
Patitur, meorum & criminum pœnas luit,
Dum vulneratur vulnere alieno graui.
Vt peſtilentis cùm viget morbi lues,
Quamuis in alijs vlcerum eſt ſummus dolor,
Contagio graſſatur eadem ad cæteros.
Nunc rapior extra me, ſtupétque mens mihi,
Vti ille iudex, qui ſtatuit æqua omnibus,
Acceptor eſt perſonæ, & hominum gratiâ,
Cùm peccet vnus, plectat alium eius loco.
Quóve is modo qui iudicantes iudicat,
Acerriméque punit auidos munerum,
Feſtinet ipſe oblata dona ſumere,
Cui creditores ſunt miniſtri pauperes,
(Vt quis domeſticos fideles dixerit:)
Poſcítque vt illi iúſque fáſque negligant:
Exultat inde, nec veretur dedecus:
Auro voluntatem æſtimat contrà bonam:

Dei infinita bonitas, & clementia. Lact. lib. 2. diu inſt. c. 18.

Similitudo apta.

Admiratio immẽſæ Dei miſericordiæ cum iuſtitia coniunctæ, Pſal. 100. Exodi. 23. Deut. 16.

Hic eſt ſuſpicio mendi in Græco cod.

Paníſque fruſto legibus vim infert ſuis:
Attrahitur & ſuſpirijs, ſi acceperit:
Marci 9. & 12. Lenitur vndæ frigidóque poculo,
Vectigal etiam lacrymæ calidæ capit:
Perſæpe ad vſque rem puſillam deuenit,
Occaſionem, fallat vt jus, quæritans:
Luc. 16. Pleraſque ſcindit ſyngraphas obnoxias:
D. Aug 1. Conf. 1. 3. donas debita, nihil perdens. Chirographorum mille confundit tomos,
Et liberatis cautionem amplam notat:
Iuſtiſſimorum pacta certa pignorum
Facit irrita illicò, notátque ſedulò,
Ac ipſe per ſe ſtatuit vt decreta vult:
Infringit ac leges, timere quas nequit:
Et omnium ſoluit reorum vincula,
Furéſque iuſtificat, placidus eſt impijs,
Scorta alloquitur, & publicanos diligit:
Quin Dauidis ſi concini hymnos audiat,
Ezech. 18. & ad Rom. 4. Puros & inſontes, vel homicidas, facit:
Idémque diluit nefanda crimina,
Sic etiã verti poteſt, † Conſtituit improbos, probos inter viros.
Defenſiones velparum æquasſuſcipit. Non atro enim liquore iudex maximus,
Cruore tingens at ſuos digitos rubro,
Exarat iſto regias notas modo.
De ſumma Dei patiẽtia & ſera punitione, ex pſ. 7. Arcum ſuum tetẽdit & parauit illum. Tv intendis arcum ſæpè, quò ferias malos,
Aſt impetum teli volantis ſuſtines:
Nam intenſionem dum paras arcus tui,
Tardus ſagittarius es, vbi iactu eſt opus.
Rurſus frequenter tendis arcus cornua,

Tum

Ἄρτῳ δὲ μικρῷ τοὺς νόμους βιάζεται.
Ὑφέλκεται δὲ καὶ στεναγμοῖς, ἢ λίθοι·
Ψυχρῷ δὲ πλησθεὶς θάλπεται ποτηρίῳ,
Καὶ λῆμμα θερμοῦ δακρύου ποιεῖται·
Καὶ μέχρι λεπτοῦ πολλάκις κατέρχεται,
Ζητῶν ἀφορμὴν εἰς τὸ κλέψαι τὴν δίκην·
Σχίζει δὲ πολλὰς συγγραφὰς ὑπαιτίους,
Τόμους δὲ σαθροῖ μυρίων χειρογράφων,
Τοῖς * ἀφεσίμοις δαψιλῶς ὑπογράφει, — ἴσ. καὶ τοῖς ἀφ. δι. ὑπογράφων.
Τὰς * ὑποθήκας, καίπερ οὔσας ἐνδίκους,
Γοργῶς ἀκυροῖ, καὶ χαράττει συντόμως,
Αὐτὸς καθ' αὐτὸν ὡς θέλει ψηφίζεται·
Νόμους σαλεύει, μὴ φοβούμενος νόμους·
Λύει τὰ δεσμὰ τῶν ὑπευθύνων ὅλων· — Ἄλλως, καὶ τοὺς ἀδίκους δικαιοῖ, εἰ εὕροι λάβοι.
Ληστὰς δικαιοῖ, ἀπένδεται κατακρίτους †.
Πόρναις ὁμιλεῖ, τοῖς τελώναις συμμεθύει.
Εἰ δὲ προχείρως ψαλμὸν ἐκ Δαβὶδ μάθοι,
Εἴωθε ποιεῖν καὶ φονεῖς ἀναιτίους. — ἴσ. καὶ τὰς δι. Has ita quoque connecteram,
Καὶ * διαλύσεις τῶν κακῶν ἐγκλημάτων, — Ingentium ſolutiones criminum,
Εἰ καὶ παρανόμους, ἐννόμους ὁρίζεται. — Vt ſint iniquæ, ſicut æquas approbat.
Οὐκ ἐκ βαφῆς γὰρ ὁ κριτὴς μελανδόχου,
Ἀλλ' αἱματώσας τοὺς ἑαυτοῦ δακτύλους,
Βαφαῖς ἐρυθραῖς βασιλικῶς ὑπογράφει.
Ὦ Τόξα τείνων εἰς τὸ πλῆξαι πολλάκις,
Περικρατῶν † δὲ τὴν βολὴν ὑπηγμένην· — περὶ ἀνοχῆς.
Τοῦ γὰρ βέλους μὲν ἀντεπίζεις τὴν τάσιν,
Ἀργὸς δὲ γίνῃ πρὸς τὸ βάλλειν τοξότης, — χ. περικρατῶν δὲ τὴν βο. ὑπηγμένην.
Καὶ πολλάκις τὸ τόξον ἐντείνας, πάλιν

Χαλᾷς δὲ κέντρον, καὶ μεθέλκεις τὸν τόνον
Καὶ τῇ δοκήσει σχηματίζεις τὸν φόβον,
Καὶ τῆς ἀπειλῆς ζωγραφεῖς τὴν εἰκόνα·
Ἕως φοβηθεὶς πρὸς τὸ πλῆκτρον ὁ βλέπων
Κλίνῃ τὰ νῶτα, καὶ προσκύψας εἰς γόνυ,
Καὶ τῷ φόβῳ τὸ σῶμα συστείλας ὅλον,
Φύγῃ τὸ τραῦμα τῆς βολῆς κινουμένης.
Εἰ μὲν δοκεῖ γὰρ ταῖς βολαῖς δυσβλέπτειν,
Εὐσημότερος γίνεται τῷ τοξότῃ.
Εἰ δ' αὖ μετάστῃ τοῦ κακοῦ μεταιχμίου,
(Μεταίχμιον δὲ τῆς μάχης ἀμφιβολία)
Παρατρέπει τὸ πλῆκτρον εἰς τοὐναντίον.
Θέλει γὰρ οὕτως ἀστοχεῖν ὁ τοξότης.
Καὶ πλάττεται μὲν τῷ δοκεῖν τὸν ὀργίλον,
γρ. τύπτει. Ἅπαξ δὲ * πλήττει, καὶ ταράσσει πολλάκις,
Φόβοις, ἀπειλαῖς, ἐνέδραις, ἐνυπνίοις.
Στοργῇ κολάζων, δεῖ γὰρ εἴθισται τῇ φύσει
Καὶ τὴν ἀπειλὴν τοῦ θεοῦ σωτηρίαν,
γρ. ποικίλως. Ὃς πρὸς τὸ σώζειν μηχανᾶται * ποικίλα,
γρ. παντοκράτης. Καὶ ψυχοκερδὴς γίνεται * πλουτοκράτης,
Καὶ τοῖς λαβεῖν θέλουσιν, οὐρανοκράτης.
ἀντὶ τοῦ ἱερεῖς ρόσυ. Καὶ μαργαρίτας εὐδοκεῖ προτιθέναι,
γρ. σέλοι. Οὓς οὐκ ἀπωστράκωσαν ἰνδικοὶ * λίθοι,
Ἀλλ' αἱ πενιχραὶ τοῦ βίου προστάσεις.
γρ. φειλούς. Φρυκτοὺς * δέ σοι δείκνυσιν ἄνθρακας λάλους·
Εἴπερ λαλοῦσιν ὄντες ἠνθρακωμένοι·
Στικτοὺς, ἐρυθροὺς, ὡς τὸ πῦρ ἐξημμένους,
Τὸ φῶς ἀπαυγάζοντας ἐκ τῶν τραυμάτων.

Τιμῆς

Tum ſpiculum laxas, retrahis & miſſile.
Opinione, infers ſuperuacuos metus,
Minitationis exprimíſque imaginem:
Donec metu exanimatus hoc telum videns,
Sua terga vertat, prouolutus ad genu,
Ac præ timore comprimens artus ſuos,
Declinet ictum concitatæ cuſpidis.
Aduerſa nam tela intueri ſi lubet,
Paratus ad vulnus ſagittifero tum erit:
Sin cautus à media receſſerit via,
(Peccatum at interſtitium habetur prælij)
Auertit in contrarium iaculum leue.
Namque arciger volens aberrat à ſcopo,
Ac ſimulat, vt credatur ira concitus:
Sed percutit ſemel, monétque ſæpius
Terroribus, minis, pudore, inſomnijs.
Amore caſtigans: minas etenim Dei
Par eſt ſalubres eſſe natura ſua:
Dum multa molitur, ſalutem vt conferat,
Lucrator animorum, opum fit venditor,
Vendítque cælum comparare optantibus.
Quin margaritas huic placet proponere,
Non quas procellæ concreant concha Indicæ,
Anguſta vitæ ſed ferunt diſcrimina.
Truces, loquacéſque indicat carbunculos:
(Si quidem loquuntur, igne cùm ſint torridi)
Punctis rubentes, igneos, ac flammeos,
Lumine cicatricum micantes aureo:

Dei monita, & comminationes.

Grecam inſcriptionē, *Demorbo Sacro* non capio. malim, *De certaminibus & premiis Martyrum Chriſti.*

Baſil. orat. 7. Hexam. D. Ambros. l. 5. Hex. c. 11. oſtreis pretioſiſſimā margaritam natura infixit.

D. Baſil. de Mart. Barl. D. Hieronymus in epit. Paulæ ad Euſtochium,

Afflictio in ſeculo, materia premiorum eſt.

Pretij lapillos parui, & immenſi tamen,
Planè paratos ad corollarum decus:
Queis tabidi artus, æſtibúſque feruidi,
Multò magis quàm flamma prunarum nitent,
Regnum ad Thronorum perpetim viuentium,
Vbi conſident qui tempſerint mortalia,
Vultum tyranni nec feri trepidauerint.
 Prudens flagellum: immenſitas ô copiæ:

Epiphonema.

Bonitas inexhauſta! vnica ex formidine
Hos purgat, atque tempus ante iudicî
In morbum, vt ignem in expiantem, coniicit:
Caſtigat at nos hoc magiſtro miſeriæ,

Vel hoc modo, Stipẽdium & morbi tribuit angoribus.

† Mercedem & ex morbi dolore præparat:
Sic quæ putatur mulcta vitæ, pœnáque,
Vt cauſa ſit, præſtat, ſalutis publicæ.

De Terræ baſi.

 Fundamen vndas tu rotundaſti ſoli,
Variabili at fulcro grauatum ſuſtines:
Et fundis in firmaminis locum aëra,
Aut me latet quamnam alteram ſtatuas baſim,
Aut quale fundum moliaris ponderi,
Vt non opus ſit præter hoc fundo altero.
Vel potiùs ignotis cathenis penſilem,
Reddis vehendis commodam nauem omnibus.
(Nam nauis eſt Tellus ſupernatans aquis,
Et ſtans, & orbis domicilia ſecum vehens)
 Ripis arenam congregas, muros Maris,
Obſtaculum infirmum procellis dans ſali.

Amos 4.

Tonitru creas, clarúmque ſtatuis fulgetrum

Fomiti-

Τιμῆς βραχείας, τοὺς ὑπερτίμους λίθους,
Ὅλους ἐντίμους εἰς παραθήκην στεμμάτων.
Ὧν αἱ ταχεῖσαι τῶν μελῶν ἀναβράσεις,
Στίλβουσι μᾶλλον ἢ τὸ πῦρ ἐξ ἀνθράκων,
Εἰς * βασιλείαν τῶν ἀειζώων θρόνων, ἴσ. ὡς τῆς βασ.
Τῶν μήτε θνητῶν ἐκκοπὴν † δεδοικότων, γρ. ἐγκοπήν.
Μήτε θρασεῖαν τύραννον ὡπλισμένων.
Ὦ τῆς σοφῆς μάστιγος, ὢ πλούτου βάθος!
Ὦ χρηστότης ἄπληστος! ἐξ ἑνὸς φόβου,
Τοὺς μὲν καθαίρει, καὶ παρὰ καιροῦ τῆς δίκης
Καθαρτικὸν πῦρ ἐμβαλοῦσα, τῶν νόσων·
Ἡμᾶς δὲ πείθει συμφορᾷ * διδασκάλῳ, γρ. συμφορᾶς.
Καὶ μισθὸν ἡμῖν ἐκ νόσου τεχνάζεται·
Καὶ τὴν δοκοῦσαν τοῦ βίου τιμωρίαν,
Κοινὴν ἀφορμὴν ἐκτελεῖ σωτηρίας.
Ὦ Γῆς ὑποστήριγμα τορνευτὸν ὕδωρ, περὶ γῆς.
Ἱστῶν δὲ τὴν βρίθουσαν ἀστάτῳ βάσει·
Ἢ βάραθρον αὐτῇ παρασχὼν τὸν ἀέρα,
Οὐκ οἶδα ποίαν * ἑδράζων ἄλλην βάσιν, ἴσ. ἱδρύσας.
Ποῖον δὲ ταύτῃ δημιουργῶν πυθμένα,
Ὡς μὴ δεηθῇ τοῦ μετ' αὐτὸν πυθμένος.
Σειραῖς δὲ μᾶλλον ἠγνοημέναις ὅλοις,
Ποίαν κρεμαστὴν τὴν πολύφορτον ὁλκάδα·
Ἡ γῆ γὰρ ὁλκάς ἐστιν εἰς ὕδωρ τάχα,
Ἑστῶσα *, καὶ φέρουσα τὴν οἰκουμένην· γρ. Ἱστῶσα.
Ψάμμον * δὲ τεῖχος τῇ θαλάσσῃ συλλέγων, γρ. Ἄμμον δ.
Καὶ λεπτὸν ἀντίφραγμα τῇ ζάλῃ πλέκων.
Κλύζων δὲ βροντῶν, ἀστραπὴν ἢ καπνούς,

γρ. ἐνόμβρων. Ἐκ τῶν * ἐνύγρων ἐκβρέχειν πυρεκβόλων.
περὶ ἀνέ- Ὦ τὰς ἀνεμώδεις οὐσίας θησαυρίσας,
μων. Ἐκ τῶν ἀδήλων ὡς ἐπίστασαι πόρων·
γρ. ἐκβίχων. Αὖθις δὲ ταύτας * ἐκχέων ἐν ἐξόδῳ,
Ὅταν χρείζῃ τὰς πνοὰς τοῖς οἰκέταις.
περὶ κε- Ὦ τοῦ κεραυνοῦ τὴν ὁδὸν περιτρέπων,
ραυνοῦ. Ἀναστρέφων * δὲ τὴν ἄνω φορὰν κάτω,
γρ. ἀντιστρέ- Χέων δὲ τὴν ἄβυσσον ἐκ βάθους ἄνω,
φων. Ὅταν προσδόκῃ τοὺς ἀναγκαίους φόβους,
Καὶ τῷ φόβῳ δρᾷς ἐκκοπὴν ἁμαρτίας.
περὶ χα- Ὦ πῦρ φλογίζον τῇ χαλάζῃ συμπλέκων,
λάζης. Ὅταν ξενουργεῖς συμφορὰς Αἰγυπτίοις·
Καὶ μήτε πυρσοῖς ἐξαλμάζων τὴν δρόσον,
Μὴ δ' αὖγε τεφρῶν τῇ χαλάζῃ τὴν φλόγα·
Ἀλλ' ὡς βραβευτής, καὶ συνάπτων τὴν πάλην,
Καὶ πνεῦμα πέμπων, καὶ μεσάζων τὴν μάχην.
περὶ νε- Ὦ τὰς ἐπάλξεις τῶν νεφῶν, καὶ τοὺς λόφους,
φῶν. Κρεμῶν ἐν ὕψει, καὶ μεθέλκων ἐν βάθει,
Καὶ πῆ μὲν ἐκ γῆς, εἰ θέλεις, μετάρσιον
Ὕδωρ ἀνέλκων, πῆ δὲ διψῶσαν πάλιν
γρ. δροσίζων καὶ ποτίζων. Τὴν γῆν ποτίζων, † καὶ δροσίζων εὐθέτως
Τὴν ξηρότητα τῆς ἐνύγροις ἰκμάσι,
Μή πως ὑποκλάσασα τῇ ξηρᾷ ζέσει,
Στεῖρα προέλθῃ πρὸς γονὴν τῶν σπερμάτων.
περὶ χιό- Ὦ τὰς ῥεούσας ὡς κελεύεις ἐκχύσεις,
νος καὶ χα- Ποιῶν ὁμοίας τοῖς ἀποσκλήροις λίθοις,
λάζης. Ἃς οὔτε χειμών, οὔτε καύματος * ζέσις,
γρ. χεύσει. Εἴργει τυποῦσθαι πρὸς τὸ σοὶ δεδογμένον,

Πῆ μὲν

Fomitibus ignis humidis excurrere.
Tv flaminum condis leues eſſentias, De ventis & Dei miraculis.
Et promis ex abſconditis meatibus:
Effundis auras rurſus, vt docet Exodus,
Illas miniſtris largiens vltrò tuis. Exod. 14.
Curſum retorques fulminis in aliam plagam,
Surſumque tendentem impetum, deorſum trahis:
Extollis à profundo abyſſum alta ad loca:
Quando vbi neceſſe eſt territas pauoribus,
Flagitium vt omne comprimas formidine.
Tv grandini perfundis ignem flammeum,
Dum Ægyptijs clades nouas das cladibus: De grandine igni permixta, Exo. c. 9. & 15.
Nec facibus exhauris vaporem roſidum,
Nec grandinis vi torridam flammam obruis: Ps. 104. Exod. 15.
Sed vt arbiter pugnæ, vices qui temperat, Moſes incāo Deut. 32.
Es pacis idem medius & certaminis. Eſaiæ 4.
Tv nubium turres & altos aggeres
Appendis in ſublimi, & infrà deijcis: De Nubibus & pluuia.
Nunc ſi velis, tellure ab infima trahis
Excelſam aquam: nunc aridam terram rigas
Humore largo, commodis valdè imbribus:
Vt ſiccitas vndis liqueſcat humidis,
Ne ardore fracta, & ſterilis illa reddita, De niuis & grandinis vi ac natura.
Ad ſeminum conceptionem prodeat.
Tv, cùm imperas, effuſiones imbrium
Pares ſilicibus efficis duriſſimis:
Quas nulla hiems, nec feruor æſtus maximi
Fingi vetat nutum ad voluntatis tuæ:

Nam mox aquas vt gelida ſaxa frigore
Ezech. 38. Ignaua bruma indurat, æſtas at modò
Ios. 11. Lapides rigentes grandinis iacit horridæ.
Cauſas ſacrorum oraculorum ritè quis
Examinauit in hoc opere lapidario?
Ariſtotelicã grãdinis definitionem exagitat, quæ traditur l. 1. Meteor. c. 12. Ouid. 9 Met. Põtanus l. 1. Meteor. c. 10
Audacius quale os Stagiritæ ſophi
De grandinis vi orationes euomit:
Vt Sol vaporem ad ſe humidum cùm traxerit,
Et concauis in nubium meatibus.
Frigus pruinoſum inſerens, totam obtegit
Rigoris exſpirationem in infimo,
In ſaxa molle vertit, indurátque rem,
Hinc grando rigidi marmoris vires habens,
Diffunditur veluti cylindri ſaxei.
Iam frigoris contenſione hiems fera,
Torpore fluminis indito compagini,
Non, rarefactum, fluere tunc illud ſinit,
O lubricos diſcurſuum fluctus nim. Hor. 2. Ser. Tib. l. 2. el. 1.
At contrahens ſtringenſque concretum indicat.
† O ſyllogiſmorum vagos fluctus nimis!
Structura inanis ludicrorum infantium,
Dum colligunt paleas, vt ædificent caſas.
O bulla ſaliens, & tumore turgida,
Quæ ſpiritu ampullata verba inflat leui:
Hanc veluti rem fragilem caducámque illico
Effingit vna ſtilla, guttáque diſijcit.
Si frigus aſtringit gelata hæc marmora,
Idémque ſiccæ præſtat æſtatis calor,
Quæſo vnde ad vnicam actionem diſpares,

Ac-

Γῆ μὲν γὰρ αὐτὰς, οἷα πετραίους πάγους,
Χειμὼν ἀπεσκλήρωσε, πῆ δὲ καὶ θέρος
Στεῤῥοὺς * ἀφῆκε τῆς χαλάζης τοὺς λίθους. γ. στεῤῥὰς τοὺς λίθους.
Τίς τὰς ἀφορμὰς τῶν ἀποῤῥήτων λόγων,
Ταύτης ἀποκρίνωσι τῆς λιθουργίας;
Ποῖον θρασυνθὲν τοῦ Σταγειρίτου στόμα
Τοὺς τῆς χαλάζης ἐξερεύνηται λόγους·
Ὡς ἥλιος μὲν ὑγρὸν ἁρπάσας πάχος,
Καὶ πρὸς τὰ κοῖλα τῶν νεφῶν ὀρύγματα,
Τὴν ψῦξιν ἐνθεὶς, καὶ * περιστείλας ὅλην
Τῆς ψυχρότητος ἐν βάθει τὴν ἰκμάδα, γ. φρικλί- σας.
Λιθοῖ τὸ χαῦνον, καὶ παχύνει τὴν φύσιν,
Κἀντεῦθεν ἡ χάλαζα μαρμαρουμένη,
Λύσις * κυλίνδρων γίνεται λιθοδρόμων. γ. χύσις.
Ὁ δ' αὖγε χειμὼν ψυχρότητος ἐκτάσει,
Νάρκωσιν ἐνθεὶς τῆς ῥοῆς τῇ συστάσει,
Χεῖσθαι μὲν αὐτὴν οὐκ ἐᾷ χαυνουμένην,
Σφίγγων δὲ καὶ πρὸς δίκην πεπηγμένην.
Ὦ συλλογισμῶν εὐόλισθα κύματα,
Καὶ κλίσμα χαῦνον παιδικῶν ἀθυρμάτων,
Τὰ λεπτὰ κάρφη συλλεγόντων εἰς στέγην.
Ὦ πομφόλυξ σφύζουσα καὶ φυσωμένη,
Καὶ πνευματοῦσα τοὺς ἐνογκώδεις * λόγους, γ. ἐν ὀγκώ- σει.
Ἣν ὡς ἄβαθρον καὶ διάῤῥυτον κτίσιν,
Ψεκὰς συνιστᾷ, καὶ σταγὼν ἀνατρέπει.
Εἰ συστρέφει γὰρ τοὺς πάγους ἡ ψυχρότης,
Καὶ τοὺς ποιεῖ τὸ θέρος ἡ θερμότης,
Πόθεν συνῆλθον εἰς * συνέργειαν μίαν, γ. ἐνέργειαν.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Ἐναντίως ἔχοντες ἐργάται δύο;
Ποῖαι δὲ χῶναι, καὶ κυλίστραι καὶ στρόφοι,
Τὴν ψύξιν ἐσφαίρωσαν εἰς ῥυτὴν λίθον;
Πόθεν δὲ καὶ φλὸξ τῇ βροχῇ μεμιγμένη,
Καὶ τοῖς φιλέχθροις συστροφαῖς εἱλουμένη,
Ἅλωσιν οὐ πέπονθεν ἀλληλοφθόρον;
Εἰ δ' αὖθις ἢ νοῦν ὀξυκίνητον στρέφων,
γ. ἀνάψυξιν. Ἢ πνεῦμα λεπτὸν εἰς ἀνάπτυξιν* λόγου,
Εἴπερ τι πιστὸν τῶν ἀποκρύφων μάθοι,
Καὶ τοῦτο τῆς σῆς δέσποτα προμηθείας
Ὡς μὴ τὸ μῆκος ἢ τὸ κάλλος τοῦ πλάτους,
Μόνον σκοπήσας ἐκπλαγῇ τῶν κτισμάτων,
Ἀλλ' ὥς τε μᾶλλον τῇ νοήσει τοῦ βάθους
Πρὸς ὕψος ἀρθεὶς, γνωστικῶς σε θαυμάσῃ.
Ἀλλ' ἐπεὶ λοιπὸν τῷ Σταγειρίτῃ Πλάτων,
Καὶ τὸν μαθητὴν πεῖσον, εἰ πείσεις λέγειν,
Ἐκ τοῦ δύω κάτελθε, καὶ λάλει κάτω,
Μή πως ἐπαρθεὶς τῷ μεταρσίῳ θράσει,
Ὥσπερ νεοττὸς ἀετοῦ, καὶ μὴ θέλων,
Αὖθις καθέλθῃς, μὴ φέρων τὸν ἥλιον.
Ἀλλ' ὦ παρ' ἡμῖν ἐμφανῶς κεκρυμμένε,
γ. καλυπτῶν. Καὶ φῶς* μὲν οἰκῶν, τοῖς δὲ τὴν σὴν οὐσίαν,
Ζητοῦσι, πολλὴν ἀντιπέμπων ἑσπέραν,
Ὡς συγκαλύπτων οὐ μόνον τὴν σὴν φύσιν,
Ἐν συστολῇ δὲ δεικνύων καὶ τὴν κτίσιν·
Ὅπως ἐὰν τις ἐξερευνῆσαι λέγῃ,
Τὴν σὴν ἀνεξερεύνητον οὐσίαν θέλῃ,
Πρῶτον λάβοι κάλυμμα τὴν στενὴν κτίσιν,

Καὶ

Ac ſibi repugnantes opifices currerent?
Quæ infundibula, quæ machinæ verſatiles,
Frigus rotundarent in vdum ſcrupulum?
Et vnde flamma mixta madidis imbribus,
Atque inuolucris acta tam diſcordibus,
Non patitur inde euerſionem mutuam? *De igne fulguris, nubibus incluſo.*
SIN rurſus aciem mentis intendens ſuæ,
Arguto & ingenio explicans ſententiam,
Proferre diſcat credibile quid in abditis, *Redit ad inueſtigatorem naturæ.*
Sanè hoc tuæ opus eſt Prouidentiæ, ô Deus:
Vt neutiquam longíque latíque hoc decus
Rerum ſtupeſcat conditarum cogitans,
Magis at magíſque intelligens profunda, te,
Euectus ad ſumma, agnitum mirans colat.
Suggere quod eſt reliquum Stagiritæ Plato, *Iocus in Platonem.*
Et hoc alumno, ſi potes, perſuadeas,
Deſcende ab altis, & loquere ſummiſſiùs,
Ne audacia elatus ſuperbæ mentis, vt
Aquilæ ferocis pullus, inuitus quoque
Labaris infra denuò, Solem haud ferens.
AT tu qui apud nos & lates, clarè & pates,
Lumen quidem habitas, ſed tuam quærentibus *Dei Mundíque cognitio ardua.*
Eſſentiam, caliginem cæcam inijcis,
Cùm non tegas modò tui vim numinis,
Anguſtè at oſtendas creatum quicquid eſt:
Vt ſi quis indagare ratione audeat
A nemine inuentam tuam ſubſtantiam,
Velum creati ſumat operis antea,

Et nubilum horreſcens, retrò mox commeet.
Tv effabilem nulli obtines præſtantiam,
Téque velut in ſpeculo indicas re in condita,
Vt quiſque diſcendi auidior mortalium
Tui per ipſam imagines, quantum licet,
Non altiores mente rationes petat:
Sed traditus puer vt magiſtello ſuo,
Ad litterarum primulas currit notas:
Hæc interim doctus rudimenta infima,
Seſe applicet ſtudio creatorum omnium:
Ac ſyllabas ſolerter, vt ſubſtantias,
In ſe inuicem perdiſcat annexas probè:
At Solis & Lunæ poſitiones, quaſi
Diſtincta ritè puncta ſignet temporum.
Et quando doctrinæ hæc ſciet primordia,
Communiores ac tenebit regulas,
Erítque mens affixa particulis in his
Sermonis, oratoriè ac res exprimet:
Legúmque Mundi euadat hinc peritior:
Nec terminos tranſiliat antiquitùs datos,
Nouíſque ſtudeat conſtitutis legibus:
Tum multa peragens, ac progreſſus longiùs,
Speculationi altæ viam faciat ſibi:
Atque ordinem concipiat animo eius loci,
Hunc maximarum ceu magiſtrum rerum habens:
Perfectiùs cognoſcat inde & pleniùs,
Nil antè cæcam præter vmbram noſſe ſe:
Duntaxat ita, tanquam ex mera ignorantia,

Via quæ ducit ad Theognoſiam.

Inſtitutionis puerilis cum hominis diuina inſtitutione comparatio.

Se

Καὶ τὴν ὁμίχλην ἐκπλαγεὶς ἀποστρέφοι.
Ὦ τὴν ἀνερμήνευτον ἐξοχὴν ἔχων,
Δεικνὺς δὲ σαυτὸν ἐν κατόπτρῳ τῇ κτίσει,
Ὅπως ἕκαστος ἐκμαθεῖν ἠπειγμένος,
Τὰς σὰς δι' αὐτῆς, ὡς ἐφικτὸν, ἐμφάσεις,
Μὴ τοὺς ὑπὲρ νοῦν εὐθέως ζητεῖ λόγους·
Ἀλλ' ὡς νέος τις ἐκδοθεὶς διδασκάλῳ,
Καὶ πρὸς τὰ πεζὰ τῶν γραμμάτων τρέχων,
Τέως τυπωθῇ τοῖς κάτω μαθήμασι,
Προσκαρτερήσας τῇ σχολῇ τῶν κτισμάτων.
Καὶ συλλαβὰς μὲν ἐμφρόνως τὰς οὐσίας,
Τὰς εἰς ἑαυτὰς συντεθείσας ἐκμάθῃ·
Τὰς ἡλίου δὲ καὶ σελήνης ἐκθέσεις,
Ὡς τῶν χρόνων * εὔστικτα σημεῖα, ξέσῃ.
Ὅταν δὲ πᾶσαν τὴν προπαίδευσιν μάθῃ, γρ. ἄκλιτα.
Καὶ ταῖς καθολικαῖς ἐντελεῖ προσῳδίαις,
Πήξῃ τε τὸν νοῦν εἰς τὰ τοῦ λόγου μέρη,
Καὶ ῥητορευόντων ἐκφράσῃ τὰ κτίσματα,
Τοῖς κοσμικοῖς δὲ πᾶσιν ἐντύχῃ νόμοις,
Καὶ τοὺς παλαιοὺς μὴ παρατρέπων * ὅρους, γρ. παρα-
Εἰς * διατάξεις ἀσφαληθῇ τὰς νέας· τρέχων.
Καὶ πολλὰ * πράξας, καὶ προσκόψας εἰσβάλοι, ἴσ. εἰς τὰς δι
Ταῖς εἰσαγωγαῖς τῆς ἄνω θεωρίας, γρ. πρέξη.
Καὶ τὴν ἐκεῖ σύνταξιν εἰς φρένας λάβοι,
Τὴν τῶν μεγίστων πραγμάτων παιδευτείαν.
Τότε προβαίνων ἐντελέστερον μάθοι,
Ὡς οὐδὲν ἔγνω πλὴν * σκιᾶς κεχρυμμένης, γρ. σκιὰν κε-
Οὕτω τε λοιπὸν * εἴπερ ἐξ ἀγνωσίας, κρυμμένην. ἴσ. ὥσπερ

Τὸ, γνῶθι σαυτὸν, εἰς διάσκεψιν λάβοι,
Καὶ τῇ καθ' ἡμᾶς ἐνδιατρίβων φύσει,
Τέως ἑαυτῷ συλλαλήσει, καὶ μάθοι

περὶ διαπλάσεως τοῦ ἀνθρώπου.

Πόθεν παρήχθη, μηδὲν ὢν πρὸ τοῦ βίου;
Καὶ πῶς τὰ μικρὰ τοῦ σπόρου προβλήματα
Ἐν τοῖς μερισμοῖς τῶν τοσούτων ὀργάνων
Παρεντεθέντα; πῆ μὲν ὀμμάτων * θέσεις,
(γρ. ὀργάνων.) Πῆ δὲ φλέβας τίκτουσι, πῆ δὲ συνδέσεις
Τῶν ἐντέρων πλέκουσι, καὶ χεῖρας πάλιν
Φύουσι, καὶ στερεοῦσι τοῖς ποσὶ βάσιν;
Καὶ πῶς μερισθὲν εἰς τομὰς πολυτρόπους,
(γρ. ποικιλοτρόπῳ.) Τὸ τοῦ σπόρου σύστημα ποικίλῳ τρόπῳ
Μίαν καθιστᾷ τῶν μελῶν τὴν οὐσίαν;
Πόθεν δὲ πηγὰς αἱμάτων ἐπεισάγει,
(γρ. συμφυεῖ.) Τάσιν δὲ νεύρων * ἐμφυεῖ τῷ σώματι,
Κτίζει δὲ πλευρὰς, ὡραΐζει δὲ τρίχας,
Σφίγγει δὲ ταρσοὺς, καὶ μερίζει δακτύλους·
Χαυνοῖ δὲ γλῶτταν εἰς τὸ συστρέφειν λόγους,
Καὶ πλῆκτρον εἶναι τοῦ λαλοῦντος ὀργάνου·
Παρακρατεῖ δὲ σπονδύλοις τὸν αὐχένα,
(γρ. τῆς περιστροφῆς.) Μή πως ὀλισθὸν * τῇ περιστροφῇ πάθοι·
Ῥιζοῖ δὲ πυκνὰς τῶν ὀδόντων τὰς μύλας,
Ὅπως ἀλεσθῇ πρὸς τροφὴν τὰ σιτία.
Καὶ πῶς φυτουργεῖ τὴν πυρώδη καρδίαν,
Σπινθῆρος ἔνδον μηδενὸς πεφυκότος,
(γρ. ἐν τῷ μέσῳ.) Ἣν ἐν μέσῳ τέθεικεν, ὥσπερ οἱ τρόπιν
Πηγνύντες, ἀντίπλευρα βάλλουσι ξύλα,
Ἐκεῖθεν ἔνθεν, εἰς τὸ σῶσαι τὸ σκάφος.

Πόθεν

Se noſcat ipſum, mentis & ſpectet bona,
Noſtræque naturæ immorans mortalium,
Secum loquatur, cogitétque talia:

De procreatione hominis & fabrica corporis humani.

Productus vnde eſt, qui ante vitam nil erat?
Quî verò iactus tam puſilli ſeminis
Eſt inſitus tot artuum compagibus?
Vbinam duorum luminum ſedes ſita eſt?
Quonam modo gignuntur hinc venæ, tot &
Connexiones viſcerum, atque ambæ manus
Naſcuntur: hoc ſatu, vt pedum fulcra edita?
Quî diſtributa plurima in loca ſeminis
Natura víſque, vltrò & citrò, varijs modis
Compingit vnicam artuum ſubſtantiam?
Quâ rupe fontes elicit tot ſanguinis,
Molémque fœtuum inſerit per corpora,
Coſtáſque fingit, & capillis dat decus,
Talóſque conſtringit, manum in digitos ſecat:
Linguam relaxat, quò ſonos contorqueat
Orationis, garruli vt plectrum organi:
At vertebris ceruicis onus hoc ſuſtinet,
Conuerſione quò minùs lapſum ferat.
Denſas & ori dentium ſtabilit molas,
Vt nutrientia conterantur tritica?
Quîve igneum præcordijs cor conſerit,
Intus fauilla nulla quamuis emicet?
Hócque indidit medio, carinam figere
Vt qui volunt, hi tranſtra lignea aſtruunt
Hinc inde, quò ſeruetur incolumis ratis.

Aſt vnde formæ imaginem pulchram exprimit,
Et pulchritudinem dat informi priùs?
Qualés ve maternos ſinus indagat, vt
Modò his figuram fœminæ effingat, modò
Robuſta fundat maſculorum corpora:
Et vnde fontes irrigandis fœtibus,
Et vnde dulcis riuulos lactis trahit?
Et quî fit vt pariter calor plantis datus
Impuberum molem organorum adaugeat,
Accretiones corporis dans partibus:
Floréſque puberibus pilorum addit loco:
† Et gramine aſpectum vireſcente decorat,
Feruórque fructus cogitur profundere.
Donec vigorem ætas ſenilis auferat,
Hæc quæ iuuentutis citò autumnum terit:
Flacceſcit iſte nam calor velociùs.
Ariſta canos at ſeneſcentum induit,
Caput labaſcit, nutat atque flectitur,
Inclinat & humi, prægrauante pondere,
Appetere meſſis proſpicit dum tempora.
Si ſumat iſtam carneam noſtram lyram,
Et † carminum cognoſcat & numerum & modos,
Ac deſerens mutum ſuum ſilentium
Enunciet noſtram infimam melodiam:
Quo ſeminis vis fluxa concreſcat modo,
Carnémque generet, duráque euadat iterum,
Neruóſque iungat, oſſáque annectat ſimul.
Aut quantulum memoria cellulam occupet,

Hominis cum ſtirpiũ natura comparatio.

Vel, Lanugine & vultum facit amœniſſimũ.

Verti poteſt, Et artuum

Redit ad ſeminis vim & naturam.

Conſeruat

Πόθεν δὲ μορφοῖ καὶ τυποῖ τὴν εἰκόνα,
Καὶ κάλλος ἐντίθησιν ἐξ ἀμορφίας;
Ποίους δὲ κόλπους μητρικοὺς ὑποστέγων,
Γῆ μὲν τὸ θῆλυ σχηματίζει τῇ πλάσει,
Γῆ δὲ προσβάλλει σωματώσεις ἀῤῥένων;
Πόθεν δὲ πηγὰς τοῖς κυήμασι βρύει,
Καὶ τοῦ γάλακτος τοὺς ἀγωγοὺς εἰσάγει;
Καὶ πῶς ὁμοίως τοῖς φυτοῖς ἡ θερμότης
Αυξει τὸ σῶμα τῶν ἀνήβων ὀργάνων,
Καὶ τὰς ἐπιδόσεις τῶν μελῶν ἐργάζεται·
Αυτη δὲ βάλλει τοῖς ἐνήβοις τὰς τρίχας,
Καὶ τὴν πρόσοψιν ὡραΐζει τῇ χλόῃ,
Οργᾷ δὲ καρποὺς ἐξενεγκεῖν ἡ ζέσις·
Εως ἂν ἥξῃ τῆς παρακμῆς ὁ χρόνος,
Ο τὴν ὀπώραν ἐκπιέζων τῶν νέων·
Μαραίνεται γὰρ εὐθέως ἡ θερμότης·
Λευκαίνεται δὲ τῶν γερόντων ὁ στάχυς·
Καρηβαρεῖ δέ, καὶ δοκεῖ κεκυφέναι,
Τῇ γῇ δὲ προσνένευκε, καὶ βρίθει κάτω,
Τὸν γὰρ θερισμὸν γειτνιῶντα προσβλέπει.
Εἰ τὴν καθ' ἡμᾶς σαρκικὴν λάβοι λύραν,
Καὶ γνῷ τὸν ἁρμὸν τῶν μελῶν καὶ τοὺς τόνους,
Καὶ τὴν ἄηχον ἐκφυγὼν ἀφωνίαν,
Εἰπεῖν δυνηθῇ τὴν κάτω μελῳδίαν·
Καὶ πῶς τὸ ῥευστὸν τοῦ σπόρου παχύνεται,
Καὶ σάρκα ποιεῖ*, καὶ πάλιν σκληρύνεται, *γρ. σαρκοποιεῖ.
Καὶ νεῦρα καὶ σύμπηξιν ὀστώδη πλέκει.
Η πηλίκον δοχεῖον ἡ μνήμη φέρει,

Ἐν ᾧ φυλάττει τὰς δοχὰς τῶν πραγμάτων.
Εἴποι δ' ἂν πῶς ἔμπρακτος ἡ φύσις τρέχει
Πρὸς τὰς ἐν ἡμῖν θρεπτικὰς λειτουργίας.
Ὡς μὲν δέ τις δέσποινα τῆς οἰκουργίας,
γρ. ἱκέτας. Καὶ πρὸς ἔργα τοὺς ἑαυτῆς * ἐργάτας,
Καὶ τοὺς ὀρεκτικοὺς μὲν ὀξυνεῖ πόρους,
Τοὺς ἑκτικοὺς δὲ πάντας ἰθυνεῖ τόνους:
Βάλλει δὲ κλεῖθρα τοῖς καθελκτικοῖς πύλαις,
Ἕως λάβοιτο καιρὸν ἀλλοιώσεως,
Ἐξαιματώσει τὰς τροφὰς ἡ θερμότης,
Καὶ τὴν ἀποκρίνουσαν ὠθήσει θύραν,
Καὶ πᾶν περιττὸν ἐκφορήσει φορτίον.
περὶ αἰ- Ἢ πῶς ἐνεργεῖς ἀντιλήψεις εἰσάγει,
σθήσεων. Πρὸς τὰς ἐν ἡμῖν ποικίλας διακρίσεις,
Ἀφήν, ἄκουσμα, γεῦσιν, ὄσφρησιν, θέαν.
Ἀφή. Καὶ τῆς ἁφῆς μὲν τῷ δεικτῷ δακτύλῳ,
γρ. τὸ πιωαν-τον. Ζυγοστατεῖ τὸ χαῦνον ἐκ * τοῦ μαλακτοῦ.
Στενὰς δὲ ποιεῖ τῆς ἀκοῆς εἰσόδους,
Ἀκοή. Καὶ κοχλοειδεῖς τὰς θύρας ἐργάζεται,
Ὡς ἂν καθ' εἱρμὸν εἰσρέωσιν οἱ κτύποι,
Καὶ μὴ καταπλήξωσι τοὺς ἔσω πόρους,
Ἤχοις ἀτάκτοις ἐμπεσόντες οἱ ψόφοι.
Γεῦσις. Σαρκοῖ δὲ καὶ τὴν γλῶτταν ἡρμοσμένην.
Δέον γὰρ αὐτὴν δέρμα σομφῶδές γ' ἔχειν,
Πρὸς τὰς ἀνακλάσεις τε τῶν ἐδεσμάτων,
Καὶ τὰς ἑτοίμους ἀντιλήψεις τῶν πόρων,
Δι' ὧν λαβοῦσα τὰς τροφὰς ἡ χαυνότης,
Πρὸς πᾶν τὸ ῥευστὸν εὐδιάκριτος μένει.

Ῥέθει

Conſeruat vbi, quas percipit, rerum notas.
TVM referat vt natura currit ſedula
Ad apta nobis nutriendis munia.
Matrona veluti, quæ familiæ præſidet, De hac alēdi vi & reliquis *Ariſt. lib. 2. de An. c. 4.*
Vrget miniſtros officia quoſque ad ſua:
Partim appetentes hæc meatus incitat,
Partim attrahentes dirigit cunctos tonos:
Adhibétque portis clauſtra deducentibus,
Donec, cibi mutationis tempore,
Feruor alimenta mutet ipſa in ſanguinem,
Simul atque portam excretionis truſerit,
Onus & ſuperuacuum foras proiecerit.
Perceptiones quî efficaces inferat,
Ad ſenſuum tot iudicia noſtris data De ſenſibus & eorum inſtrumentis.
Neruíſque & oculis, naribus, linguæ, auribus.
Hinc tactibus, digito quidem æquo iudice, Tactus.
Examinat molle à ſuo contrario.
Auditionis tranſitus arctos facit, Auditus.
Et flexuoſas machinatur ianuas,
Fluant in aures ordinis ſerie, vt ſoni,
Ne fortè lædantur meatus intimi,
Si pulſibus grauiſſimis ſoni irruant.
ET ſpongioſa carne linguam contegit:
Nam pelle molli præditam eſſe oportuit, Guſtatus.
Refractionem ad eſculentorum omnium,
Atque vt meatus apprehendant commodè,
Fungoſa per quos laxitas capiens cibos,
Dijudicat pulchrè liquores quoſlibet.

Odoratus. Aſt vnde tam amplas fiſtulas hoc obtinet
Vehiculum odoratus, meat quâ ſpiritus
Vitalis auræ: morbo & illis ſi accidat
Vt obſtruantur, ceu laqueo animal angitur,
Aut cogitur animam per os effundere.
Imitata cæli hæc vis ſitus, hos luminum
Viſus. Orbes duos obiecit inſtar ſiderum,
Poſſemus eiaculatione vt orbium
Aëre repercuſſo, ſagittantes velut,
Haurire lucem è luce, vt ignem ex torribus.
Oculorum molitio. AT capitis à neruis duobus extimis,
Facto canalis in modum foramine,
Tranſmittit hoc lucis meatu ſpiritum:
Tunicíſque veſtit pupulas molliſſimis,
Ac ſi domi quis virgines cuſtodiat.
Foramen anguſtum aperit at meatui,
Vt ſpiritus qui è riuulis effunditur
Non comprimatur, ſi via huic præcluſa ſit:
Neu obnubilet, viſus hebetet aut lucidos,
Aut lumina obducat nigra caligine:
Neu turbet aciem flatus hic, aut inquinet,
Effuſus impetu, via latiſſima.
O quanta, quámq; ampla eſt tuorũ operũ, DEVS,
Notitia inexplicabilis, ſermonibus
Quæ non notatis prædicat nubem ſacram:
Epiphonema, de lachrymarum vi ad cluẽda peccata. Et nunc datum vt caliginoſis cordibus
Hæc luminum vis præferat claram facem:
Sedenim per oculos cùm notas turpes trahat,

Rurſus

Πόθεν δὲ καὶ σύριγγας εὐπόρους ἔχει,
Ὀσφραντικῆς ὄχημα, καὶ βιοτρόφου *περὶ ὀσφρήσιος.*
Πνοῆς ἀγωγεύς, ὧν φραγέντων ἐκ πάθους,
Ἀγωνιᾷ τὸ ζῶον, ὡς ἐν ἀγχόνῃ,
Ἢ καὶ περιπνεῖν * ἐκβιάζεται τὸ στόμα. *γρ. περιπνεῖν.*
Μιμουμένη δὲ τὰς ἐν οὐρανῷ θέσεις,
Φωστῆρας ἀντέθηκεν ὀφθαλμοὺς δύο,
Ὅπως ἔχοιμεν ταῖς βολαῖς τῶν ὀμμάτων, *περὶ ὄψεως.*
Τὸν ἀέρα πλήττοντες, ὡς οἱ τοξόται,
Φῶς φωτὶ σύρειν, ὡς τὸ πῦρ ἐξ ἀνθράκων.
Ἐκ τῶν δύω δὲ τῆς κεφαλῆς ἀκροστέγων,
Νεύρων διατρήσασα σωλῆνος δίκην,
Καὶ πνεῦμα φωτὸς ἐμβαλοῦσα τῷ πόρῳ,
Τοῖς μὲν χιτῶσι συγκαλύπτει τὰς κόρας,
Ὡς εἴ τις οἴκοι συμφυλάττει παρθένους·
Ὀπὴν δὲ μικρὰν ἐξανοίγει τῷ πόρῳ,
Ὅπως τὸ πνεῦμα τῶν ὀχετῶν διατρέχον,
Μήτε στενωθῇ, τῆς ὁδοῦ πεφραγμένης,
Καὶ πνευματώσῃ, καὶ σκοτώσῃ τὴν θέαν,
Καὶ τὰς ἐπιχύσεις προσπλάσῃ ταῖς ὄψεσι·
Μὴ δ' αὖ ταράξῃ, καὶ θολώσῃ τὰς κόρας,
Ὁρμαῖς ἀπλήστοις ἐκχυθὲν πρὸς τὸ πλάτος.
Ὡς ἐμεγαλύνθη τὸ σοφόν σου κοσμοτέχνα
Ἡ γνῶσις ἡ δύσφραστος, ἡ τοῖς ἀγράφοις
Λόγοις ἀπαγγέλλουσα τὸν θεῖον γνόφον· *περὶ δακρύων.*
Καὶ νῦν ἔφθαται τῆς ζοφώδους καρδίας,
Δᾳδοῦχον εἶναι τὴν ῥοπὴν τῶν ὀμμάτων,
Εἴπερ δι' αὐτῶν ἐμβάλλουσα τοὺς ῥύπους,

Γέλων δι' αὐτοῦ ἐκβάλῃ τὰ δάκρυα,
Τὰς εἰσόδους πλειώνασα ταῖς διεξόδοις.
Εἰ τοὺς λαβυρίνθους δὲ τῶν λόγων φράζοι,
περὶ τοῦ Ο τῶν ἀδήλων οὐσιῶν ζυγοστάτης,
νοῦ. Καὶ πῶς ὁ νοῦς συνέστι πηλίνῳ σαρκὶ,
Καὶ πνεῦμα πηλῷ καρτερεῖ συνημμένον·
Καὶ πῶς ἐν ὕλῃ τὴν ἀϋλίαν ἔχει,
Εἰ μηδὲν αὐτὸν ὑλικὸν περιγράφει.
Η πῶς μέγιστον ὄμμα τῆς ψυχῆς ἔφυ,
Καὶ τῶν ἀδήλων ὀπτικοὺς ἔχει πόρους·
γ. νέμει. Καὶ νῦν μὲν εἰς γῆν τὰς ἐνεργείας* μένει,
γ. ἀέρα. Νῦν δὲ πρὸς αὐτὸν ἅπτεται τὸν αἰθέρα*·
Καὶ πηνὸς ἀρθεὶς, καὶ τὸν ἥλιον φθάσας,
Τὰς τῶν ἄνω τε καὶ κάτω ζητεῖ φύσεις·
Καὶ τὰς μὲν ἀρχὰς, τὰς δὲ συμμέτρως βλέπει,
Τῶν δὲ στοχασμοῖς ἐννοεῖ τὰς εἰκόνας.
Καὶ τὴν ὄρεξιν μηδαμοῦ στῆσαι θέλων,
γ. ἐφίεται. Ἐφέλκεται* μὲν τῆς ἁπάντων αἰτίας,
ἴσως, ἐφίεται. Καὶ τὴν ἐκείνης γνῶσιν ἀθρῆσαι θέλει·
Καὶ πολλὰ κάμνει, καὶ τὸν ἔσχατον πόλον
γ. μύει. Δοκεῖ παρελθεῖν, ἀλλ' ἐκεῖ* μύει μόνον,
Εἰ καὶ διαυγεῖς εὐπορήσει καρδίας.
Ὅταν δὲ τούτους τοὺς πολυπλόκους μίτους
Λύσῃ σχολάζων, καὶ βαθύνῃ, καὶ φράσῃ,
Ὅπως ὁ κρυπτὸς τῶν φρενῶν ὁδοστάτης,
Ο ψυχοκλέπτης, ὁ φθορεὺς τῆς καρδίας,
Η τοῦ σκότους ἔπαρσις, ὁ πτερωτὸς δράκων,
Ἔξωθεν ἔνδον ἡδονὰς παρεισάγει·

Σπείρων

Rurſus per ipſos lachrymas fundit pias,
Egreſſione vt eluat quæ ingreſſa ſunt.
Si porrò labyrinthos latentes explicet
Oraculorum, eſſentiarum libripens
Subtilium: quî mens lutoſo ponderi
Adhæreat, cœnóque iunctus ſpiritus:
Quî liber à concretione in mole ſit,
Si nulla materies eum complectitur.
Quî ve oculus animi maximus ſit inſitus,
Vt eius acies penetret abditiſſima:
At nunc humi eſt affixus actionibus,
Tollens modò ſe ſalit in oras ætheris:
Præpetibus ac pennis volans Solem anteit,
Indagat & ſuperas & imas quaſque res:
His ſufficit ſanè, has mediocriter videt,
Ac cæterarum imagines ſignis capit.
Et appetitum ſiſtere haud vſquam volens,
Attrahitur ad cauſam omnium excelſiſſimam,
Atque illius notitiam habere percupit:
Multum laborat, ac poli altum verticem
Prætergredi putat: ſed ibi perſtringitur,
Sit perſpicaci corde quamuis præditus.
Ast inuoluta hæc quando fila ſoluerit,
Vnum hoc ſtudens, ſcrutatus altè, & dixerit
Abſtruſus vt graſſator ille mentium,
Prædoque animorum, cordis humani lues,
Elatio caliginis, primus Draco,
Intrò ferat ductas voluptates foris:

De mẽte & intelligẽtia.

De aſtu & præſtigiis ſempiterni hoſtis generis humani.

Et cogitatus ſerit, vt hinc culpam creet.
Itidem tyrannum ſe gerens, hominem trahit
Affectionum ad ſeruitutem, vt belluam.
Hic mobiles mentes videri aues facit,
Sues adulteros, rapaces vt lupos,
Veſpáſque violentos, furentes pardalos,
Et ſanniones mutat in fœdos canes,
Qui blandientes impetunt morſu aſpero:
At luridos ex liuidis angues parit:
Fundens venenum fictione peſſima.
Acuítque acerba tela faſtus turgidi:
Nam tingit † illa inflante mentes pharmaco,
Lapſu eleuato, honore valde ignobili,
Humili tumore, gloriáque ingloria,
Ridente luctu ludicri vmbram tam leuem.
Idololatriam auri auaris inſerit,
Originem primam malorum & cladium:
Satiata quæ affatim, ſatietatem haud capit:
Tabeſcit at libidinum tota æſtibus:
Expletione & auctione alens ſitim,
Temulentiæ flammam aureæ accendit magis.
  Tvm quî ſit hac vi præditus, lapſus polo,
Vt non modò iſtud corpus, hoſtem vt barbarum,
Cum ſpiritu committat aduerſo agmine:
At dirus alma mancipet præcordia,
In ſeruitutem liberam naturam agat,
Mentéſque, iuris quæ ſui, ſubigat ſibi,
Captiuitate affligat ac miſerrima:

D. Baſil. or. 10. in Hexae. in extrema. D. Chryſoſto. in pſal. 48. & Boet. lib. 4. de phil. conſol.

Niſi arrideat cõiectura noſtra legendum, Nã lædit animũ inflãte mẽtes phar.

Faſtus, de quo fuſius in poem. de vanit. vitæ.

Auaritia.

Corporis cum ſpiritu prælium à dæmone eſt.

Σπείρων λογισμοὺς εἰς γονὴν ἁμαρτίας,
Η πῶς τυραννεῖ καὶ μεταίρει τὴν φύσιν,
Εἰς * παρὰ φύσιν τῶν παθῶν κληνωδίαν. ἴσ. εἰς τὸ πα.
Καὶ πτηνὰ μὲν δείκνυσι τὰς κούφας φρένας,
Σύας δὲ πόρνους, καὶ λύκους τοὺς ἅρπαγας,
Σφῆκας δὲ πλήκτας, θυμικοὺς τε παρδάλεις·
Ποιεῖ δὲ τοὺς εἴρωνας ἀθλίους κύνας,
Σαίνειν δοκοῦντας, καὶ δάκνειν ἠπειγμένους.
Οφεις δὲ πικροὺς ἐκτελεῖ τοὺς βασκάνους,
Τὸν ἰὸν ἐνθεὶς τῇ κακῇ * παρεμπλάσει· γρ. παρα-πλάσει.
Θήγει δὲ πικρὰ καὶ τὰ τοῦ τύφου βέλη,
Βλάπτει * γὰρ αὐτοὺς ψυχοκόμπῳ φαρμάκῳ, ἴσ. Βάπτει γὰρ αὐτὰ ψυ
Τιμῆς ἀτίμου, πλώσεως ἐπηρμένης·
Ογκου ταπεινοῦ, δυσκλεοῦς ἀδοξίας,
Θρήνῳ γελῶντι τῆς σκιᾶς τοῦ παιγνίου.
Εἰδωλολατρείαν δὲ τοῖς φιλαργύροις,
Τὴν ῥίζαν ἐνίησι τῶν κακῶν ὅλων·
Η κἂν κορεσθῇ μᾶλλον, οὐκ ἔχει κόρον,
Αλλ' εἰς ὀρέξεις τίκτεται καὶ φλεγμονάς,
Τῇ πλησμονῇ διψῶντα, καὶ τῇ προσθέσει,
Τὸν βρασμὸν ἐξάπτοντα τῆς χρυσῆς μέθης.
Η πῶς τοσοῦτον καὶ πεσὼν ἔχει κράτος,
Ως μὴ μόνον τὸ σῶμα βαρβάρου δίκην,
Αντιστρατεύειν πρὸς μάχην τοῦ πνεύματος·
Ηδη δὲ καὐτῆς ἅπτεται τῆς καρδίας,
Καὶ δουλαγωγεῖ τὴν ἐλευθέραν φύσιν,
Καὶ τὰς ἐν ἡμῖν αὐτοδεσπότους φρένας
Εν αἰχμαλώτῳ συμφορᾷ περιτρέπει.

Η

Πείθει τε πολλὰ καὶ τὰ λοιπὰ συμπνέειν,
Ἑλίσσεται γὰρ λοξοειδῶς, ὡς ὄφις,
Ἔστι δὲ δεινὸν ἐν φρονήσει θηρίον·
Σπουδοδρομεῖ δὲ τὴν κάτω φορὰν τρέχων·
Κεχρημένος γὰρ ὡς ποσὶ τῇ κοιλίᾳ,
Λείχων δὲ τὸν χοῦν τοῖς λύκων τάχα τρόποις,
Καὶ γαστριμάργῳ τῶν παθῶν ὑπερζέσει,
Κινεῖ τὸ συμπέρασμα τῆς ἁμαρτίας,
Πρὸς ἣν ἕκαστος γεῦσιν ἡδέως τρέχει.
Καὶ συγκεραννὺς ἡδονῇ τὴν πικρίαν,
Μελικεράτῳ φθείρει με δηλητηρείῳ.
Σύμβουλος ἐχθρὸς, καὶ κατήγορος φίλος,
Σφαγεὺς προσηνὴς, καὶ φονεὺς συνεργάτης,
Πλανῶν ὁδηγὸς, εὐμενὴς ὁδοστάτης,
Ἄσπονδος, εὐπρόσδεκτος, εὐπειθὴς δράκων·
Θέλγει γὰρ ἡμᾶς, μηδενὸς προκειμένου,
Κάλλος παριστᾷ, μηδενὸς κινουμένου·
Πρόσωπα μορφοῖ, ζωγραφεῖ διαπλάσεις,
Τὸν νοῦν ἐρευνᾷ, ψηλαφᾷ τοὺς δακτύλους,
Γέλωτα πείθει, συμβιβάζει τὸ στόμα·
Καὶ τῇ δοκήσει τῆς ἀφανοῦς ἁμαρτίας,
Ἔμπρακτον ὠδίνησε τὴν ἁμαρτίαν.
Οὐκ ἀγνοῶν γὰρ τῶν ἐκείνου φασμάτων
Τὸ δυσπαθὲς φρόνημα, καὶ τοῦτο πλέον
Θλίβει με καὶ δάκνει με καρκίνου δίκην,
Φεύγοντα καὶ πράττοντα τὴν ἁμαρτίαν.
Πλὴν τὸν φέροντα τοῦτον ἀρρήτως ὄφιν,
Τὸν τοῦ σκότους κάτοπτρον, ἡ θεία κρίσις

Προύθηκεν

Hinc ſuadet aggredi facinora pleraque:
Nam tortuoſa, ceu Draco, irrepit via,
In intimíſque ſenſibus trux bellua eſt,
Ingreditur & ſolo, infimum carpens iter:
Alui miniſterio pedum loco vtitur,
Lingens luporum more ſueto puluerem:
Intemperante affectionum incendio
Studet facinus ad vmbilicum ducere,
Ad quem cibum auidus quiſque curſitat libens.
Miſcétque amarorem voluptati aſperum,
Mulſo venenoſo parans mihi necem.
Patronus infeſtus, benignus proditor,
Iugulum petens blandè, enecans quos adiuuat,
Dux in via fallens, beneuolus ac latro,
Et perfidus, gratúſque & eloquens Draco:
Namque allicit nos, præmio nullo dato,
Formæ exhibet decus, nec vlla mota res,
Laruas figurat, ſpectra fingit inania,
Scrutatur animum, tangit & digitos manus,
Riſum excitat, labelláque oris comprimit:
Et opinione delitentis criminis,
Crimen reapſe noxium mox parturit.
IAM illuſionum Dæmonis non neſcium,
Propoſiti iniqui ac peſſimi, tantò magis
Me pungit ac mordet, rubens Cancer velut,
Quòd flagitium & auerſer, & præſtem tamen.
Niſi ſi vetuſtum anguem hunc inaudito modo,
Caliginis ſpeculum, Dei ſententia

Draconis Satanæ miniſtri illecebræ

Plin. l. 8. c. 22.

Antitheſes aptiſſimæ ad vaframenta Dæmonis declaranda.

Spectrorum illuſiones.

Querimonia de fragilitate humana.

Nobis ob oculos poſuit, vt, ſi quidem notas
Ad imaginem ſacram editas non tollimus,
Habeamus ipſum ludibrî tanquam loco,
Pſal. 105. Anguémque ludamus, licet hiatum paret.
Plerique enim mentem ſuperbam & aſperam,
In prælióque inuulnerabilem illius
Vim molis expertem, grauati his artubus,
Ac terreo contemperati puluere,
Retudêre gnauiter, perinde ac ſi ſcuta
Repellerent humi ſagittas irritas.

Martyrum & Sanctorũ lucta cum principe tenebrarum.

SI ſingula hæc ſpectanda proponat ſibi,
Et vilium ac vulgarium mortalibus
Victoria habita, notionem prædicet:
Vel promouens gradum, organum capiat ſacrum,
Vox clamitantis cordis in vaſtis locis:
Eſai. c. 6. Aut forcipi ſi ſe Cherubinæ admouens,
Sermonis almi ſumat hinc carbunculum:
Reg. 4. c. 2. 6. Aut flammeum currum, igneoſque equos trahens,
Iter polorum currere arduum volet,
Equéſque vita appareat ſublimior,
Carne hunc deorſum dimouere neſcia:
Gen. 15. 3. Reg. 18. Deducat ignem, rorem & appendat ſuprà:
Cunctas trahens, vel diſtrahens, mutáns ve res.
Exo. 22. Num. 11. 16. Obturet ac fide os Leonum audacium,
3. Reg. 13. De fornace Dan. 3. Rorem eſſe monſtret ignem in ardenti pyra:
Exod. 47. Nilúm ve feriat, ſanguine immutans aquas,
Eſai. 23. Et ſuadeat fulgêre Solem in nubilo:
Exod. 23. & 24. Ac diuidat abyſſum in ſtupendam ſemitam:

Cõſideratio ſtupẽdorum Dei miraculorum.

Ignis

Προὔθηκεν ἡμῖν, εἴγε τοὺς κατ' εἰκόνα
Γραφέντας ἡμῖν μὴ χαράξομεν τύποις,
Ὅπως ἔχωμεν αὐτὸν ἀντὶ παιγνίου,
Παίζοντες εἰς δράκοντα, κἂν χάνῃ μέγα.
Πολλοὶ γὰρ αὐτοῦ τὴν ἐπηρμένην φρένα,
Καὶ τὴν ἄφυκτον ἐν μάχαις αὐλίαν,
Ὕλην ἔχοντες σαρκικῶν βαρημάτων,
Καὶ τῇ γεώδει συμπεφυρμένοι κόνει,
Ἤμβλυναν, ἀπέστρεψαν, ὥσπερ ἀσπίδες
Τὰ σαθρὰ πρὸς γῆν ἀντιπέμποντες βέλη.
Εἰ τοῦτο πάντα πρὸς διάσκεψιν λάβοι,
Καὶ τῶν δοκούντων εὐτελῶν καὶ σιωτέρφων,
Τὸν σφυγμὸν εὑρών, τὴν διάγνωσιν φέροι·
Ἢ καὶ προκόπτων θεῖον ὄργανον λάβοι,
Φωνὴ βοῶντος εἰς ἐρήμους καρδίας·
Ἢ τῇ πυράγρᾳ τοῦ χερουβὶμ ἐγγίσας,
Λάβοι παρ' αὐτοῦ τοῦ λόγου τὸν ἄνθρακα·
Ἢ τὸν πυραυγῆ δίφρον, ἢ τοὺς ἐμφλόγους
Ἵππους ἐλαύνων, οὐρανῶν ὁδὸν δράμοι,
Ἱππεὺς γὰρ διαχθῇ τῷ βίῳ μετάρσιος,
Τῆς σαρκὸς αὐτὸν μὴ κατασπώσης κάτω.
Ἢ πῦρ καταξεῖ καὶ κρεμάσει τὴν δρόσον,
Ἕλκων, μεθέλκων, ἀντιβαίνων τὰς φύσεις·
Φράξει γὰρ πίστει τῶν λεόντων τὸ στόμα,
Δρόσον γὰρ δείξει τοῦ καμίνου τὴν φλόγα·
Ἢ καὶ πατάξει νεῖλον εἰς αἷμα τρέπων,
Πείσει δὲ λάμπειν ἐν ζόφῳ τὸν ἥλιον,
Σχίσει γὰρ τὴν ἄβυσσον εἰς πέδον ξένον,

γρ. πυρός. Στύλον δὲ δείξει * νυκτὸς ἔμπυρον σέλας,
Ἄρτους δὲ σίτου μὴ προκειμένου πλάσει,
Λιμὸν δὲ θάλψει τῇ βροχῇ τῶν ὀρνέων,
Πηγὰς δὲ πέτραις ἐκβαλεῖν ἀναγκάσει.
Τείνοι δὲ χεῖρας εἰς τροπὴν ἐναντίων,
Τοῦ σταυροειδοῦς συμβόλου τὴν εἰκόνα.
Ἴδοι δὲ πυρσῷ μὴ φλογωθεῖσαν βάτον,
Τὰ κρυπτὰ τοῦ μέλλοντος εἰκονίσματα.
γρ. ἐν φόβῳ. Τότε προκύψας, ὡς ὁ Μωσῆς, * ἐμφόβως,
Καὶ καπνὸν εὑρὼν ἐν θυέλλῃ καὶ γνόφῳ,
Καὶ πρὸς τὸ νύγμα τῆς ὀπῆς ἀφιγμένος,
Μόλις τὰ κρυπτὰ τῶν ὀπισθίων μέρη
Θεοῦ σκοπήσει, καὶ πλέον μηδὲν βλέπων,
Πλέον ποθήσῃ τὸν κεκρυμμένον πόθον·
γρ. ἠγάπων. Ἀργοὶ γάρ εἰσι τῶν ἐρώντων οἱ πόθοι,
Εἰ συντόμως τύχωσι τοῦ ποθουμένου.
Καὶ πᾶς ἐρευνῶν τοῦ θεοῦ τὴν οὐσίαν,
Ὅσον θεωρεῖ, πρὸς τοσοῦτον συμμύει.
Εἰ γάρ τις εἰς ἄβυσσον, ἀπλήστοις κόραις,
Ἢ καὶ πυραυγῆ δίσκον ἡλίου βλέπων,
γρ. ἀτενίζει. Ὅσον * θεωρεῖ, τὰς κόρας ἀμβλυώττεται·
Ποῖος πανόπτης εὐτονήσει * νοῦς βλέπειν,
γρ. εὐπορήσει. Τὸν τοῦ καθ' ἡμᾶς ἡλίου φωτὸς πόρον;
εὐχή. Ἀλλ' ὦ παρὼν πόῤῥωθεν ἑδραίῳ τάχει,
Ὁ πᾶσι γνωστὸς καὶ δυσεύρετος μένων,
Καὶ πᾶσι ληπτὸς, καὶ κρατεῖσθαι μὴ θέλων·
Πᾶσι γὰρ ὢν ἄγνωστος, ἐγνώσθης ὅλοις
γρ. τοὺς δ' ὁρῶντας σε. Ἐξ ὧν ἐνεργεῖς, * εἰς τὸ πάντας σε βλέπειν.

Ὅσον

Præſtet columnam noctis igneam facem,
Panémque fingat frugibus nullis datis: *Num. 11.*
Compeſcat & famem imbre demiſſo alitûm: *Exod. 17.*
Ac flumen vndæ fluere cogat è petra. *Num. 20.*
Intendat aut palmas ad hoſtium fugam,
Imaginem exprimens ſalutaris crucis:
Cernátque magno incendio haud vſtum rubum:
Abſtruſa ſigna euentuum prænuncia:
Tandem procumbens præ metu, Moſis modo, *Exod. 3. 4. 19. 33.*
Cùm inuenerit fumum in procella nubéque,
Et ad foraminis profectus terminum,
Latentia ægrè poſterarum partium
Dei intuebitur, nihílque vltrà videns,
Deſiderabit cupidiùs quod abditum eſt:
Nam amantium ſunt languidi cupidines,
Quando citò optatis frui conceditur.

Iam quiſquis ipſam eſſentiam quærit Dei,
Quantò acrius ſpectet, magis conniueat.

Diuinæ naturæ cum abyſſo & Solari lumine comparatio. Plato in phæd. Cic. 1. Tuſc. D. Ambroſ. Hex. l. 4. c. 1. D. Dionyſius Eccl. Hier. c. 2.

Proinde, ſi ſpectator auidus lumina
Dum iactat in voraginem, aut Solis iubar,
Quanto inſpicit magis, hoc magis perſtringitur:
Quæ perſpicaciſſima videre mens queat
Solaris huius luminis fontem abditum?

Precatio accingẽtis ſe ad operum diuinorum deſcriptionem.

Tv qui eminus præſto es celeritate ſtabili,
Et cognitus cunctis, & inuentu arduus,
Qui percipi à cunctis potes, nec vis capi:
Nam nemini perceptus, omnibus agnitus
Tuis operibus, queîs vbíque cerneris:

Nam quanta magnitudo naturæ tuæ eſt,
Quæ incomprehenſa arctatur excellentia,
Huc vſque nobis actionem cernere
Tuam ſinis: nec angelis ſolùm in tuis,
Queîs igneas ſubſtantias indens, facis
Materiem ab omni mole mirè liberam.
Sed ſi quis ordo eſſentiis ſublimior
Globis in æthereis políſque nos latet,
In quáque mundi parte, qui nunc cernitur,
Quíve antè fuerat, póſtque erit, ſi ſic voles.

Operatio diuina quàm latè pateat.

Namq; exit in flámam atque aquam, tum ín aërem,
Terrámque, in aſtris, ſtirpibúſque, auibúſque, ineſt:
Itque in natantium & genus repentium.
In omne gramen: denique in hominem magis,
Ob quem iſta, poſt quém ve tanta currunt ſedulò.
Radius tuus ſedenim, locus quem non capit,
Peruadit omnia, nec premitur anguſtijs:
Neque maximarum eſt artifex rerum modò,
At cuncta ſimul amplectitur firmiſſimé:

Trãſitio cum inuocatione.

Nos dirige iſtò, quò tui opificij licet
Orbis figuras ſciſcitari ſplendidas.

De natura & proprietate ſtirpium, atq; arborũ.

NAM ecquis, videt dum poma, pictas vel roſas,
Non illicò agnoſcit coloris opificem?
Quis ſuaue olens dum nare ducit Balſamum,
Non antè odoratur te, vt ipſo quid amplius?
Cedrum quis attollit, quis eius porrigit
Baccas, & vnguentum acre ligno conijcit?
Quis Nardum inungit, delibuto & gramine

Aroma

Ὅσον γὰρ ἐν σοὶ τὸ μέγεθος τῆς οὐσίας,
Ἐν ἀκαταλήπτοις * ἐξοχαῖς συνεστάλη, — ἴσ. εὐκαταλήπτοις.
Τοσοῦτον ἡμῖν τὴν ἐνέργειαν βλέπειν,
Τὴν σὴν ἔφηκας, οὐκ ἐν ἀγγέλοις μόνον,
Οἷς τὰς πυρσωγεῖς ἐμφυτεύσας οὐσίας,
Ὕλην ἄϋλον μυστικῶς ἀπειργάσω·
Ἀλλ' εἴ τις ἡμᾶς ἱστορεῖν ὑπερτέρα,
Λέληθε τάξις οὐρανοῖς, ἐν αἰθέρι,
Ἐν παντὶ κόσμῳ, τῷ τε νῦν ὁρωμένῳ,
Καὶ τῷ πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸν εἰ θέλεις.
Χωρεῖ γὰρ εἰς πῦρ, εἰς ὕδωρ, εἰς ἀέρα,
Εἰς γῆν, ἐν ἄστροις, ἐν φυτοῖς, ἐν ὀρνέοις,
Εἰς πᾶν * τὸ νηκτὸν, εἰς τὸν ἕρποντα στόλον, — γρ. εἰς πᾶν πτηνόν.
Εἰς πάντα χόρτον, εἰς τὸν ἄνθρωπον πλέον,
Δι' ὃν τοσαῦτα καὶ μεθ' ὃν παρατρέχει.
Ἡ σὴ γὰρ ἀκτὶς μηδαμοῦ χωρουμένη,
Εἰς πάντα χωρεῖ, μηδαμοῦ στενουμένη·
Οὐ τῶν μεγίστων οὖσα τεχνῖτις μόνον,
Ὁμοῦ δὲ πάντων ἀσχέτως δεδραγμένη·
Ἴθυνον ἡμᾶς, ἔνθα τῆς κοσμουργίας
Τῆς σῆς ἔνεστιν ἱστορεῖν τὰς ἐμφάσεις.
ΤΙΣ γὰρ θεωρῶν μῆλον ἢ βαφὴν ῥόδου, — Μῆλον καὶ ῥόδον.
Οὐκ εὐθὺς ἔγνω τῆς βαφῆς τὸν ἐργάτην;
Ἢ ποῖος εἰς ὄσφρησιν ἐλθὼν βαλσάμου, — Βάλσαμον.
Οὐ σὲ προσεξέπνευσε βαλσάμου πλέον;
Τίς κέδρον ὑψοῖ, καὶ πλατύνει τοὺς κλάδους, — Κέδρος.
Καὶ πικρὸν ἐντίθησι τῷ ξύλῳ μύρον;
Τίς νάρδον ἐψεῖ, καὶ μυρίζων τὴν πόαν, — Νάρδος.

Ἀρωματίζειν ἐκβιάζει τὸν στάχυν;
Φοίνιξ. Πόθεν δὲ φοίνιξ ἐν κατεξήροις τόποις,
Καρποὺς μελουργεῖ τῶν ἐοικότων βοτρύων;
Κίτρα. Τίς καὶ τὰ κίτρα τῶν ἀκάνθαις ὁπλίσας,
Σωτῆρα αὐτοῖς αὐτοχάλκευτα ξίφη;
γ. ὅλων. Τίς ἀσπαργάνοι τὰ τέκνα τῶν φυτῶν * ὅλα;
Καὶ τοῖς μὲν αἰσθητοῖσιν ἐστάλη βάσιν,
Οἷς ἐστὶν ἐκτὸς ἀσθενὴς ἡ γυμνότης,
Τοῖς δὲ περιβέβληται στερρὸν ἔξωθεν δέρας,
Οἷς ἐστὶν ἐντὸς εὐπαθὴς ἡ χαυνότης.
Τίς δὲ λέοντι θάρσος, ἢ τῇ δορκάδι
Λέων. Δεσμοῖς ἐνῆκεν ἀντιφάρμακον φόβον;
Δορκάς. Τίς ταῦρον ἐχειρότονεν ὥσπερ ἐργάτην,
Ταῦρος. Ἀροτριᾶν μέλλοντα; τίς τῶν ὀρνέων
Ὀρνίθων γλῶττα. Τὴν γλῶτταν ἐστόμωσεν ὀργάνου δίκην;
Ὡς καὶ νομίζειν τοὺς κενοὺς μυθογράφους,
Εἶναι παρ' αὐτοῖς γνωστικὴν ὁμιλίαν.
Γρύψ. Πόθεν δὲ καὶ γρὺψ εὐσθενεῖς λαβὼν χέρας,
Καὶ βοῦν ἀναπτῶν ἐξ ἑτοίμων ἁρπάγων,
Καὶ πτηνὸς ἐστὶ, καὶ βαδίζει τετράποις;
Τίς τὰς καμήλους καί περ οὔσας ὀργίλους,
κάμηλος. Ἔπεισε μητρὸς μὴ μιαίνεσθαι γάμῳ;
Καὶ κτῆνος οὕτω βράζον εἰς λάγνον πάθος,
Πρὸς τὴν ἄθεσμον μῖξιν ἐγκρατὲς μένον,
Πέρσας ἐλέγχει τοὺς θολοῦντας τὸν βίον.
Ποίοις ὁρισμοῖς ἐκμαθὼν Ἱπποκράτους,
Τράγος. Τετρωμένος δίκταμον ἐμφαγὼν τράγος,
Τὸν ἰὸν αὐθὶς τῶν βελῶν ἀποπτύει;

Aroma ſpicam cogit almam fundere?
Nardi ſpica. Plin. c. 2. l. 13.
Aſt vnde Palma arentibus nata in plagis,
Mel fundit in fructus racemóſque vuidos?
Palma. Plin. l. 13. c.
Quis mala citria muniens tot ſpiculis,
Aptauit ipſis arma naturalia?
Mala citria, ſeu Aſſyria. Plin. l. 12. c. 3.
Quis ſtirpium fœtus recentes obtegit?
Ac his quidem indit nuclei baſim oſſeam,
Fructuum integumenta, & nuclei.
Queis nuditas extra imbecilla eſt ſcilicet:
Aliíſque duram opponit exteriùs cutem,
Queîs intus eſt mollitia delicatior.
Ecquis Leoni audaciam, timido at damæ
Animalium proprietates. Leo. Dama. Taurus.
Curſus timoris remedium tutum exhibet?
Tauro quis vt opifici dedit robur, ſolum
Vertat vt aratro? quís ve linguam garrulis
Velut organum formauit auibus tinnulum?
Auium lingua Plin. 7. 19. cap. 12.
Vt inde rentur fabulatores noui
Ipſas habere cognitos vocum ſonos.
Aſt vnde quæſo maximis Gryps viribus
Gryphus. Plin. l. 7. c. 2.
Bouem vnguibus rapidiſſimis altè eleuans,
Aléſque volat, & quadrupes greſſus mouet?
Quiſnam Camelos, æſtuent irâ licet,
Cameli. Ariſtot. lib. de mirab. aud.
Perſuaſit vt parentis haud ſe polluant
Contactibus? libidinoſum ergo hoc pecus,
Dum temperat conſtanter à venere impia,
Perſas nefandæ impuritatis arguit.
De animaliũ remediis.
Decreta quænam didicit à Coo ſene,
De capro ſeu Capris feris: Ariſtot. l. 9. hiſt. Anim. c. 6 Dioſcor. l. 3.
Vt ſaucius caper ferus Dictamnum edat,
Et ſic ſagittarum venenum reſpuat?

Accipitris medicina.

Ecquis Galenus Accipitrum vulnera
Lactucæ amaris purgat è liquoribus,
Caliginoſam luminum his nubem auferens?

Pardalis.

At Pardalis feræ cruorem haurit capræ
Vexata morbo: ſic medetur & ſibi.
Sed vuidis quercus ſacratæ frondibus,

Cameli.

Vſtos Camelus mox ſapores euomit.

Canis.

At viride gramen ſi canis guſtauerit,
Depellit atræ bilis ægritudinem.

Lupi. Leporis. Leonis. Cygni. Hœdi.

Raui at lupi terram, lepúſque cantharos,
Leóque ſimias : olor ranunculos,
Hœdíque difficilem cùm edunt Scammoniam,
Cibo hoc dolores cruditatis leniunt.

Ciconiæ.

Et abſque falſo numine Aeſculapij,
Angues vorando ſana fit Ciconia.

Catoblepas. *De hac fera Ælia. Var. hiſt. l. 7. c. 5. Plinius verò l. 8. c. 21. Athenæus. l. 5. Pompon. Mel. l. 3. c. 10.*

Vnde at Catoblepas anhelans vim igneam,
A nare flatum torrida emittens ferum,
Incendij flumen ſolum verſus iacit,
Iaculatur ac telum procul, tanquam arciger,
Ætnęam vt ardêre rapidam flammam putes,
Fulminibus & pares vaporum turbines?
Vt niſi iuberetur gerere pronum caput,
Flammæque feruidos ciêre infra globos,
Terram cadaueribus premi contingeret.

Animátibus formidoloſa.

Iam quî genera præſtantiora animalium
Terrentur à re viliori qualibet?

Equo. Tauro.

Formidat omnis equus flagelli verbera,
Oeſtróque perculſus fugam taurus capit:

Terret

Ποῖος Γαληνὸς ἱεράκων τὴν νόσον
Ὁπῶς καθαίρει πικροφύλλων θριδάκων, Ἱέρακες.
Ἀχλὺν δι' αὐτῆς ὀπτικὴν ἀποξέων;
Καὶ πάρδαλις μὲν λύθρον αἰγὸς ἀγρίου, πάρδαλις.
Γίνει νοσοῦσα, καὶ καθαίρει τὴν νόσον.
Ὑγροῖς δὲ φύλλοις ἐκ δρυὸς καθαρσίοις,
Χυμοὺς κάμηλος ὀξεμεῖ κεκαυμένους. κάμηλος.
Χλωρὰν δὲ τὴν ἄγρωστιν ἐὰν φάγῃ κύων, κύων.
Χολῆς μελαίνης ὀξερεύγεται πάθος.
Λύκοι γὰρ τὴν γῆν, οἱ λαγοὶ δὲ κανθάρεσι, Λύκος.
Λέων πιθήκοις, οἱ δὲ κύκνοι βατράχοις, Λέων.
Τράγοι δὲ τὴν ἄπεπτον ἀσκαμμωνίαν Κύκνος.
Δειπνοῦντες, ἐκπλύουσι τὴν ἀπεψίαν. Τράγος.
Ἀσκληπιοῦ δὲ τῆς νόσου θεοῦ δίχα,
Τρώγων πελαργὸς, οὐ νοσήσει, τοὺς ὄφεις. πελαργός
Πόθεν κατώβλεψ πυρσὸν ἔμφυτον πνέων, Κατώ-
Ἐκ ῥινὸς ἐμφύσημα πυρφορουμένης, βλεψ.
Κάτω τὸ ῥεῦμα τῆς πυρᾶς ἀντιστρέφει·
Πόῤῥω δὲ πέμπει τὴν φορὰν, ὡς τοξότης,
Αἰτναίαν ὥσπερ καὶ κατάῤῥυτον φλόγα,
Δίκην κεραμοῦ * πυρσοβολῶν * ἁλμίδα· γρ. κεραυνοῦ ἴσ. τὴν ἁλμ.
Εἰ μὴ δὲ θεσμὸν εἶχε συγκεκυφέναι,
Καὶ τῆς φλογὸς τὸ βράσμα συγχέειν κάτω,
Τὴν γῆν βαρεῖαν εἶχεν ἂν τοῖς λειψάνοις.
Πόθεν δὲ τὰ προύχοντα τῶν ζώων γένη,
